GREEK MATHEMATICS

II

SELECTIONS

ILLUSTRATING THE HISTORY OF

GREEK MATHEMATICS

WITH AN ENGLISH TRANSLATION BY

IVOR THOMAS

FORMERLY SCHOLAR OF ST. JOHN'S AND SENIOR DEMY
OF MAGDALEN COLLEGE, OXFORD

IN TWO VOLUMES

II

FROM ARISTARCHUS TO PAPPUS

LONDON

WILLIAM HEINEMANN LTD

CAMBRIDGE, MASSACHUSETTS

HARVARD UNIVERSITY PRESS

MCMLVII

First printed 1941
Reprinted 1951, 1957

Printed in Great Britain

CONTENTS OF VOLUME II

CONTENTS

XVI. ARISTARCHUS OF SAMOS

XVI. ARISTARCHUS OF SAMOS

(*a*) General

Aët. i. 15. 5 ; *Doxographi Graeci*, ed. Diels 313. 16-18

Ἀρίσταρχος Σάμιος μαθηματικὸς ἀκουστὴς Στράτωνος φῶς εἶναι τὸ χρῶμα τοῖς ὑποκειμένοις ἐπιπῖπτον.

Archim. *Aren.* 1, Archim. ed. Heiberg ii. 218. 7-18

Ἀρίσταρχος δὲ ὁ Σάμιος ὑποθεσίων τινῶν ἐξέδωκεν γραφάς, ἐν αἷς ἐκ τῶν ὑποκειμένων συμβαίνει τὸν κόσμον πολλαπλάσιον εἶμεν τοῦ νῦν εἰρημένου. ὑποτίθεται γὰρ τὰ μὲν ἀπλανέα τῶν ἄστρων καὶ τὸν ἅλιον μένειν ἀκίνητον, τὰν δὲ γᾶν περιφέρεσθαι περὶ τὸν ἅλιον κατὰ κύκλου περιφέρειαν, ὅς ἐστιν ἐν μέσῳ τῷ δρόμῳ κείμενος, τὰν δὲ τῶν ἀπλανέων ἄστρων σφαῖραν περὶ τὸ

---

[a] Strato of Lampsacus was head of the Lyceum from 288/287 to 270/269 B.C. The next extract shows that Aristarchus formulated his heliocentric hypothesis before Archimedes wrote the *Sand-Reckoner*, which can be shown to have been written before 216 B.C. From Ptolemy, *Syntaxis* iii. 2, Aristarchus is known to have made an observation of the summer solstice in 281/280 B.C. He is ranked by Vitruvius, *De Architectura* i. 1. 17 among those rare men, such as Philolaus, Archytas, Apollonius, Eratosthenes,

XVI. ARISTARCHUS OF SAMOS

(a) General

Aëtius i. 15. 5 ; *Doxographi Graeci*, ed. Diels 313. 16-18

Aristarchus of Samos, a mathematician and pupil of Strato,[a] held that colour was light impinging on a substratum.

Archimedes, *Sand-Reckoner* 1, Archim. ed. Heiberg ii. 218. 7-18

Aristarchus of Samos produced a book based on certain hypotheses, in which it follows from the premises that the universe is many times greater than the universe now so called. His hypotheses are that the fixed stars and the sun remain motionless, that the earth revolves in the circumference of a circle about the sun, which lies in the middle of the orbit, and that the sphere of the fixed stars, situated

Archimedes and Scopinas of Syracuse, who were equally proficient in all branches of science. Vitruvius, *loc. cit.* ix. 8. 1, is also our authority for believing that he invented a sun-dial with a hemispherical bowl. His greatest achievement, of course, was the hypothesis that the earth moves round the sun, but as that belongs to astronomy it can be mentioned only casually here. A full and admirable discussion will be found in Heath, *Aristarchus of Samos : The Ancient Copernicus*, together with a critical text of Aristarchus's only extant work.

αὐτὸ κέντρον τῷ ἁλίῳ κειμέναν τῷ μεγέθει ταλικαύταν εἶμεν, ὥστε τὸν κύκλον, καθ' ὃν τὰν γᾶν ὑποτίθεται περιφέρεσθαι, τοιαύταν ἔχειν ἀναλογίαν ποτὶ τὰν τῶν ἀπλανέων ἀποστασίαν, οἵαν ἔχει τὸ κέντρον τᾶς σφαίρας ποτὶ τὰν ἐπιφάνειαν.

Plut. *De facie in orbe lunae* 6, 922 F–923 A

Καὶ ὁ Λεύκιος γελάσας, "Μόνον," εἶπεν, "ὦ τάν, μὴ κρίσιν ἡμῖν ἀσεβείας ἐπαγγείλῃς, ὥσπερ Ἀρίσταρχον ᾤετο δεῖν Κλεάνθης τὸν Σάμιον ἀσεβείας προσκαλεῖσθαι τοὺς Ἕλληνας, ὡς κινοῦντα τοῦ κόσμου τὴν ἑστίαν, ὅτι τὰ φαινόμενα σῴζειν ἀνὴρ ἐπειρᾶτο, μένειν τὸν οὐρανὸν ὑποτιθέμενος, ἐξελίττεσθαι δὲ κατὰ λοξοῦ κύκλου τὴν γῆν, ἅμα καὶ περὶ τὸν αὑτῆς ἄξονα δινουμένην."

(*b*) Distances of the Sun and Moon

Aristarch. Sam. *De Mag. et Dist. Solis et Lunae*, ed. Heath (*Aristarchus of Samos : The Ancient Copernicus*) 352. 1–354. 6

⟨Ὑποθέσεις[1]⟩

α΄. Τὴν σελήνην παρὰ τοῦ ἡλίου τὸ φῶς λαμβάνειν.

β΄. Τὴν γῆν σημείου τε καὶ κέντρου λόγον ἔχειν πρὸς τὴν τῆς σελήνης σφαῖραν.

γ΄. Ὅταν ἡ σελήνη διχότομος ἡμῖν φαίνηται,

[1] ὑποθέσεις add. Heath.

[a] Aristarchus's last hypothesis, if taken literally, would mean that the sphere of the fixed stars is infinite. All that he implies, however, is that in relation to the distance of the

about the same centre as the sun, is so great that the circle in which he supposes the earth to revolve has such a proportion to the distance of the fixed stars as the centre of the sphere bears to its surface.[a]

Plutarch, *On the Face in the Moon* 6, 922 F–923 A

Lucius thereupon laughed and said: "Do not, my good fellow, bring an action against me for impiety after the manner of Cleanthes, who held that the Greeks ought to indict Aristarchus of Samos on a charge of impiety because he set in motion the hearth of the universe; for he tried to save the phenomena by supposing the heaven to remain at rest, and the earth to revolve in an inclined circle, while rotating at the same time about its own axis."[b]

(b) Distances of the Sun and Moon

Aristarchus of Samos, *On the Sizes and Distances of the Sun and Moon*, ed. Heath (*Aristarchus of Samos: The Ancient Copernicus*) 352. 1–354. 6

HYPOTHESES

1. The moon receives its light from the sun.

2. The earth has the relation of a point and centre to the sphere in which the moon moves.[c]

3. When the moon appears to us halved, the great

fixed stars the diameter of the earth's orbit may be neglected. The phrase appears to be traditional (*v.* Aristarchus's second hypothesis, *infra*).

[b] Heraclides of Pontus (along with Ecphantus, a Pythagorean) had preceded Aristarchus in making the earth revolve on its own axis, but he did not give the earth a motion of translation as well.

[c] Lit. "sphere of the moon."

νεύειν εἰς τὴν ἡμετέραν ὄψιν τὸν διορίζοντα τό τε σκιερὸν καὶ τὸ λαμπρὸν τῆς σελήνης μέγιστον κύκλον.

δʹ. Ὅταν ἡ σελήνη διχότομος ἡμῖν φαίνηται, τότε αὐτὴν ἀπέχειν τοῦ ἡλίου ἔλασσον τεταρτημορίου τῷ τοῦ τεταρτημορίου τριακοστῷ.

εʹ. Τὸ *τῆς σκιᾶς πλάτος σεληνῶν εἶναι δύο.*

ϛʹ. Τὴν *σελήνην ὑποτείνειν ὑπὸ πεντεκαιδέκατον μέρος ζῳδίου.*

Ἐπιλογίζεται οὖν τὸ τοῦ ἡλίου ἀπόστημα ἀπὸ τῆς γῆς τοῦ τῆς σελήνης ἀποστήματος μεῖζον μὲν ἢ ὀκτωκαιδεκαπλάσιον, ἔλασσον δὲ ἢ εἰκοσαπλάσιον, διὰ τῆς περὶ τὴν διχοτομίαν ὑποθέσεως· τὸν αὐτὸν δὲ λόγον ἔχειν τὴν τοῦ ἡλίου διάμετρον πρὸς τὴν τῆς σελήνης διάμετρον. τὴν δὲ τοῦ ἡλίου διάμετρον πρὸς τὴν τῆς γῆς διάμετρον μείζονα μὲν λόγον ἔχειν ἢ ὃν τὰ ιθ πρὸς γ̄, ἐλάσσονα δὲ ἢ ὃν μγ̄ πρὸς ϛ̄, διὰ τοῦ εὑρεθέντος περὶ τὰ ἀποστήματα λόγου, τῆς ⟨τε[1]⟩ περὶ τὴν σκιὰν ὑποθέσεως, καὶ τοῦ τὴν σελήνην ὑπὸ πεντεκαιδέκατον μέρος ζῳδίου ὑποτείνειν.

Ibid., Prop. 7, ed. Heath 376. 1–380. 28

Τὸ *ἀπόστημα ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς τοῦ*

[1] *τε* add. Heath.

---

[a] Lit. "verges towards our eye." For "verging," *v.* vol. i. p. 244 n. *a*. Aristarchus means that the observer's eye lies in the plane of the great circle in question. A great circle is a circle described on the surface of the sphere and having the same centre as the sphere; as the Greek implies, a great circle is the "greatest circle" that can be described on the sphere.

circle dividing the dark and the bright portions of the moon is in the direction of our eye.[a]

4. When the moon appears to us halved, its distance from the sun is less than a quadrant by one-thirtieth of a quadrant.[b]

5. The breadth of the earth's shadow is that of two moons.[c]

6. The moon subtends one-fifteenth part of a sign of the zodiac.[d]

It may now be proved that *the distance of the sun from the earth is greater than eighteen times, but less than twenty times, the distance of the moon*—this follows from the hypothesis about the halved moon; that *the diameter of the sun has the aforesaid ratio to the diameter of the moon*; and that *the diameter of the sun has to the diameter of the earth a ratio which is greater than* 19 : 3 *but less than* 43 : 6—this follows from the ratio discovered about the distances, the hypothesis about the shadow, and the hypothesis that the moon subtends one-fifteenth part of a sign of the zodiac.

Ibid., Prop. 7, ed. Heath 376. 1–380. 28

The distance of the sun from the earth is greater than

[b] *i.e.*, is less than 90° by 3°, and so is 87°. The true value is 89° 50′.

[c] *i.e.*, the breadth of the earth's shadow where the moon traverses it during an eclipse. The figure is presumably based on records of eclipses. Hipparchus made the figure $2\frac{1}{2}$ for the time when the moon is at its mean distance, and Ptolemy a little less than $2\frac{3}{5}$ for the time when the moon is at its greatest distance.

[d] *i.e.*, the angular diameter of the moon is one-fifteenth of 30°, or 2°. The true value is about $\frac{1}{2}$°, and in the *Sand-Reckoner* (Archim. ed. Heiberg ii. 222. 6-8) Archimedes says that Aristarchus "discovered that the sun appeared to be about $\frac{1}{720}$th part of the circle of the Zodiac"; as he believed

ἀποστήματος οὗ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς μεῖζον μέν ἐστιν ἢ ὀκτωκαιδεκαπλάσιον, ἔλασσον δὲ ἢ εἰκοσαπλάσιον.

Ἔστω γὰρ ἡλίου μὲν κέντρον τὸ Α, γῆς δὲ τὸ Β, καὶ ἐπιζευχθεῖσα ἡ ΑΒ ἐκβεβλήσθω, σελήνης δὲ κέντρον διχοτόμου οὔσης τὸ Γ, καὶ ἐκβεβλήσθω διὰ τῆς ΑΒ καὶ τοῦ Γ ἐπίπεδον, καὶ ποιείτω τομὴν ἐν τῇ σφαίρᾳ, καθ' ἧς φέρεται τὸ κέντρον τοῦ ἡλίου, μέγιστον κύκλον τὸν ΑΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΓΒ, καὶ ἐκβεβλήσθω ἡ ΒΓ ἐπὶ τὸ Δ.

Ἔσται δή, διὰ τὸ τὸ Γ σημεῖον κέντρον εἶναι τῆς σελήνης διχοτόμου οὔσης, ὀρθὴ ἡ ὑπὸ τῶν

---

that the sun and moon had the same angular diameter he must, therefore, have found the approximately correct angular diameter of $\frac{1}{2}°$ after writing his treatise *On the Sizes and Distances of the Sun and Moon.*

eighteen times, but less than twenty times, the distance of the moon from the earth.

For let A be the centre of the sun, B that of the earth ; let AB be joined and produced ; let Γ be the centre of the moon when halved ; let a plane be drawn through AB and Γ, and let the section made by it in the sphere on which the centre of the sun moves be the great circle AΔE, let AΓ, ΓB be joined, and let BΓ be produced to Δ.

Then, because the point Γ is the centre of the moon when halved, the angle AΓB will be right.



ΑΓΒ. ἤχθω δὴ ἀπὸ τοῦ Β τῇ ΒΑ πρὸς ορθὰς ἡ ΒΕ. ἔσται δὴ ἡ ΕΔ περιφέρεια τῆς ΕΔΑ περιφερείας λʹ· ὑπόκειται γάρ, ὅταν ἡ σελήνη διχότομος ἡμῖν φαίνηται, ἀπέχειν ἀπὸ τοῦ ἡλίου ἔλασσον τεταρτημορίου τῷ τοῦ τεταρτημορίου λʹ· ὥστε καὶ ἡ ὑπὸ τῶν ΕΒΓ γωνία ὀρθῆς ἐστι λʹ. συμπεπληρώσθω δὴ τὸ ΑΕ παραλληλόγραμμον, καὶ ἐπεζεύχθω ἡ ΒΖ. ἔσται δὴ ἡ ὑπὸ τῶν ΖΒΕ γωνία ἡμίσεια ὀρθῆς. τετμήσθω ἡ ὑπὸ τῶν ΖΒΕ γωνία δίχα τῇ ΒΗ εὐθείᾳ· ἡ ἄρα ὑπὸ τῶν ΗΒΕ γωνία τέταρτον μέρος ἐστὶν ὀρθῆς. ἀλλὰ καὶ ἡ ὑπὸ τῶν ΔΒΕ γωνία λʹ ἐστι μέρος ὀρθῆς· λόγος ἄρα τῆς ὑπὸ τῶν ΗΒΕ γωνίας πρὸς τὴν ὑπὸ τῶν ΔΒΕ γωνίαν ⟨ἐστὶν[1]⟩ ὃν ⟨ἔχει[2]⟩ τὰ $\overline{\iota\epsilon}$ πρὸς τὰ δύο· οἵων γάρ ἐστιν ὀρθὴ γωνία $\overline{\xi}$, τοιούτων ἐστὶν ἡ μὲν ὑπὸ τῶν ΗΒΕ $\overline{\iota\epsilon}$, ἡ δὲ ὑπὸ τῶν ΔΒΕ δύο. καὶ ἐπεὶ ἡ ΗΕ πρὸς τὴν ΕΘ μείζονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ τῶν ΗΒΕ γωνία πρὸς τὴν ὑπὸ τῶν ΔΒΕ γωνίαν, ἡ ἄρα ΗΕ πρὸς τὴν ΕΘ μείζονα λόγον ἔχει ἤπερ τὰ $\overline{\iota\epsilon}$ πρὸς τὰ $\overline{\beta}$. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΕ τῇ ΕΖ, καὶ ἔστιν ὀρθὴ ἡ πρὸς τῷ Ε, τὸ ἄρα ἀπὸ τῆς ΖΒ τοῦ ἀπὸ ΒΕ διπλάσιόν ἐστιν· ὡς δὲ τὸ ἀπὸ ΖΒ πρὸς τὸ ἀπὸ ΒΕ, οὕτως ἐστὶ τὸ ἀπὸ ΖΗ πρὸς τὸ ἀπὸ ΗΕ· τὸ ἄρα ἀπὸ ΖΗ τοῦ ἀπὸ ΗΕ διπλάσιόν ἐστι. τὰ δὲ $\overline{\mu\theta}$ τῶν $\overline{\kappa\epsilon}$ ἐλάσσονά ἐστιν ἢ διπλάσια, ὥστε τὸ ἀπὸ ΖΗ πρὸς τὸ ἀπὸ ΗΕ μείζονα λόγον ἔχει ἢ ⟨ὃν τὰ[3]⟩ $\overline{\mu\theta}$ πρὸς $\overline{\kappa\epsilon}$· καὶ ἡ ΖΗ ἄρα πρὸς τὴν ΗΕ μείζονα λόγον

[1] ἐστὶν add. Nizze. [2] ἔχει add. Wallis. [3] ὃν τὰ add. Wallis.

[a] Lit. "circumference," as in several other places in this proposition.

From B let BE be drawn at right angles to BA. Then the arc [a] EΔ will be one-thirtieth of the arc EΔA; for, by hypothesis, when the moon appears to us halved, its distance from the sun is less than a quadrant by one-thirtieth of a quadrant [Hypothesis 4]. Therefore the angle EBΓ is also one-thirtieth of a right angle. Let the parallelogram AE be completed, and let BZ be joined. Then the angle ZBE will be one-half of a right angle. Let the angle ZBE be bisected by the straight line BH; then the angle HBE is one-fourth part of a right angle. But the angle ΔBE is one-thirtieth part of a right angle; therefore angle HBE : angle ΔBE = 15 : 2; for, of those parts of which a right angle contains 60, the angle HBE contains 15 and the angle ΔBE contains 2.

Now since

$$\text{HE} : \text{E}\Theta > \text{angle HBE} : \text{angle } \Delta\text{BE},\text{[b]}$$

therefore $\text{HE} : \text{E}\Theta > 15 : 2.$

And since BE = EZ, and the angle at E is right, therefore

$$\text{ZB}^2 = 2\text{BE}^2.$$

But $\text{ZB}^2 : \text{BE}^2 = \text{ZH}^2 : \text{HE}^2.$

Therefore $\text{ZH}^2 = 2\text{HE}^2.$

Now $49 < 2 \,.\, 25,$

so that $\text{ZH}^2 : \text{HE}^2 > 49 : 25.$

Therefore $\text{ZH} : \text{HE} > 7 : 5.$

[b] Aristarchus's assumption is equivalent to the theorem

$$\frac{\tan\alpha}{\tan\beta} > \frac{\alpha}{\beta},$$

where $\beta < \alpha \leq \frac{1}{2}\pi$. Euclid's proof in *Optics* 8 is given in vol. i. pp. 502-505.

ἔχει ἢ ⟨ὃν[1]⟩ τὰ ζ̄ πρὸς τὰ ε̄· καὶ συνθέντι ἡ ΖΕ ἄρα πρὸς τὴν ΕΗ μείζονα λόγον ἔχει ἢ ὃν τὰ ιβ̄ πρὸς τὰ ε̄, τουτέστιν, ἢ ὃν ⟨τὰ[2]⟩ λϛ̄ πρὸς τὰ ιε̄. ἐδείχθη δὲ καὶ ἡ ΗΕ πρὸς τὴν ΕΘ μείζονα λόγον ἔχουσα ἢ ὃν τὰ ιε̄ πρὸς τὰ δύο· δι' ἴσου ἄρα ἡ ΖΕ πρὸς τὴν ΕΘ μείζονα λόγον ἔχει ἢ ὃν τὰ λϛ̄ πρὸς τὰ δύο, τουτέστιν, ἢ ὃν τὰ ιη̄ πρὸς ᾱ· ἡ ἄρα ΖΕ τῆς ΕΘ μείζων ἐστὶν ἢ ιη̄. ἡ δὲ ΖΕ ἴση ἐστὶν τῇ ΒΕ· καὶ ἡ ΒΕ ἄρα τῆς ΕΘ μείζων ἐστὶν ἢ ιη̄· πολλῷ ἄρα ἡ ΒΗ τῆς ΘΕ μείζων ἐστὶν ἢ ιη̄. ἀλλ' ὡς ἡ ΒΘ πρὸς τὴν ΘΕ, οὕτως ἐστὶν ἡ ΑΒ πρὸς τὴν ΒΓ, διὰ τὴν ὁμοιότητα τῶν τριγώνων· καὶ ἡ ΑΒ ἄρα τῆς ΒΓ μείζων ἐστὶν ἢ ιη̄. καὶ ἔστιν ἡ μὲν ΑΒ τὸ ἀπόστημα ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς, ἡ δὲ ΓΒ τὸ ἀπόστημα ὃ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς· τὸ ἄρα ἀπόστημα ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς τοῦ ἀποστήματος, οὗ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς, μεῖζόν ἐστιν ἢ ιη̄.

Λέγω δὴ ὅτι καὶ ἔλασσον ἢ κ̄. ἤχθω γὰρ διὰ τοῦ Δ τῇ ΕΒ παράλληλος ἡ ΔΚ, καὶ περὶ τὸ ΔΚΒ τρίγωνον κύκλος γεγράφθω ὁ ΔΚΒ· ἔσται δὴ αὐτοῦ διάμετρος ἡ ΔΒ, διὰ τὸ ὀρθὴν εἶναι τὴν πρὸς τῷ Κ γωνίαν. καὶ ἐνηρμόσθω ἡ ΒΛ ἑξαγώνου. καὶ ἐπεὶ ἡ ὑπὸ τῶν ΔΒΕ γωνία λ' ἐστιν ὀρθῆς, καὶ ἡ ὑπὸ τῶν ΒΔΚ ἄρα λ' ἐστιν ὀρθῆς· ἡ ἄρα ΒΚ περιφέρεια ξ' ἐστιν τοῦ ὅλου κύκλου. ἔστιν δὲ καὶ ἡ ΒΛ ἕκτον μέρος τοῦ ὅλου κύκλου· ἡ ἄρα ΒΛ περιφέρεια τῆς ΒΚ περιφερείας ῑ ἐστίν. καὶ ἔχει ἡ ΒΛ περιφέρεια πρὸς τὴν ΒΚ περιφέρειαν μείζονα λόγον ἤπερ ἡ ΒΛ

[1] ὃν add. Wallis. [2] τὰ add. Wallis.

Therefore, *componendo*, $ZE : EH > 12 : 5$,

that is, $ZE : EH > 36 : 15$.

But it was also proved that

$$HE : E\Theta > 15 : 2.$$

Therefore, *ex aequali*,[a] $ZE : E\Theta > 36 : 2$,

that is, $ZE : E\Theta > 18 : 1$.

Therefore ZE is greater than eighteen times EΘ. And ZE is equal to BE. Therefore BE is also greater than eighteen times EΘ. Therefore BH is much greater than eighteen times ΘE.

But $$B\Theta : \Theta E = AB : B\Gamma,$$

by similarity of triangles. Therefore AB is also greater than eighteen times BΓ. And AB is the distance of the sun from the earth, while ΓB is the distance of the moon from the earth; therefore the distance of the sun from the earth is greater than eighteen times the distance of the moon from the earth.

I say now that it is less than twenty times. For through Δ let ΔK be drawn parallel to EB, and about the triangle ΔKB let the circle ΔKB be drawn; its diameter will be ΔB, by reason of the angle at K being right. Let BΛ, the side of a hexagon, be fitted into the circle. Then, since the angle ΔBE is one-thirtieth of a right angle, therefore the angle BΔK is also one-thirtieth of a right angle. Therefore the arc BK is one-sixtieth of the whole circle. But BΛ is one-sixth part of the whole circle.

Therefore $$\text{arc } B\Lambda = 10 \,.\, \text{arc } BK.$$

And the arc BΛ has to the arc BK a ratio greater

[a] For the proportion *ex aequali*, *v.* vol. i. pp. 448-451.

εὐθεῖα πρὸς τὴν BK *εὐθεῖαν· ἡ ἄρα* BΛ *εὐθεῖα τῆς* BK *εὐθείας ἐλάσσων ἐστὶν ἢ* ῑ. *καὶ ἔστιν αὐτῆς διπλῆ ἡ* BΔ· *ἡ ἄρα* BΔ *τῆς* BK *ἐλάσσων ἐστὶν ἢ* κ̄. *ὡς δὲ ἡ* BΔ *πρὸς τὴν* BK, *ἡ* AB *πρὸς* ⟨*τὴν*[1]⟩ BΓ, *ὥστε καὶ ἡ* AB *τῆς* BΓ *ἐλάσσων ἐστὶν ἢ* κ̄. *καὶ ἔστιν ἡ μὲν* AB *τὸ ἀπόστημα ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς, ἡ δὲ* BΓ *τὸ ἀπόστημα ὃ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς· τὸ ἄρα ἀπόστημα ὃ ἀπέχει ὁ ἥλιος ἀπὸ τῆς γῆς τοῦ ἀποστήματος, οὗ ἀπέχει ἡ σελήνη ἀπὸ τῆς γῆς, ἔλασσόν ἐστιν ἢ* κ̄. *ἐδείχθη δὲ καὶ μεῖζον ἢ* ιη̄.

(c) Continued Fractions (?)

Ibid., Prop. 13, ed. Heath 396. 1-2

Ἔχει δὲ καὶ τὰ ͵ζϡκα *πρὸς* ͵δν *μείζονα λόγον ἤπερ τὰ* πη̄ *πρὸς* με̄.

Ibid., Prop. 15, ed. Heath 406. 23-24

Ἔχει δὲ καὶ ὁ $\overset{,\zeta\rho o\epsilon}{\mathrm{M}}$ ͵εωοε *πρὸς* $\overset{,\varsigma\rho o\gamma}{\mathrm{M}}$ ͵εφ *μείζονα λόγον ἢ ὃν τὰ* μγ̄ *πρὸς* λζ̄.

[1] *τὴν* add. Wallis.

[a] This is proved in Ptolemy's *Syntaxis* i. 10, *v. infra*, pp. 435-439.

[b] If $\frac{7921}{4050}$ is developed as a continued fraction, we obtain the approximation $1 + \frac{1}{1+}\,\frac{1}{21+}\,\frac{1}{2}$, which is $\frac{88}{45}$. Similarly, if $\frac{71755875}{61735500}$ or $\frac{21261}{18292}$ is developed as a continued fraction, we

than that which the straight line BΛ has to the straight line BK.[a]

Therefore	$B\Lambda < 10 \,.\, BK$.
And	$B\Delta = 2\, B\Lambda$.
Therefore	$B\Delta < 20 \,.\, BK$.
But	$B\Delta : BK = AB : B\Gamma$.
Therefore	$AB < 20 \,.\, B\Gamma$.

And AB is the distance of the sun from the earth, while BΓ is the distance of the moon from the earth; therefore the distance of the sun from the earth is less than twenty times the distance of the moon from the earth. And it was proved to be greater than eighteen times.

(c) Continued Fractions (?)

Ibid., Prop. 13, ed. Heath 396. 1-2

But 7921 has to 4050 a ratio greater than that which 88 has to 45.

Ibid., Prop. 15, ed. Heath 406. 23-24

But 71755875 has to 61735500 a ratio greater than that which 43 has to 37.[b]

obtain the approximation $1 + \frac{1}{6+}\,\frac{1}{6}$ or $\frac{43}{37}$. The latter result was first noticed in 1823 by the Comte de Fortia D'Urban (*Traité d'Aristarque de Samos*, p. 186 n. 1), who added: "Ainsi les Grecs, malgré l'imperfection de leur numération, avaient des méthodes semblables aux nôtres." Though these relations are hardly sufficient to enable us to say that the Greeks knew how to develop continued fractions, they lend some support to the theory developed by D'Arcy W. Thompson in *Mind*, xxxviii. pp. 43-55, 1929.

XVII. ARCHIMEDES

XVII. ARCHIMEDES

(a) General

Tzetzes, *Chil.* ii. 103-144

Ὁ Ἀρχιμήδης ὁ σοφός, μηχανητὴς ἐκεῖνος,
Τῷ γένει Συρακούσιος ἦν, γέρων γεωμέτρης,
Χρόνοός τε ἑβδομήκοντα καὶ πέντε παρελαύνων,
Ὅστις εἰργάσατο πολλὰς μηχανικὰς δυνάμεις,
Καὶ τῇ τρισπάστῳ μηχανῇ χειρὶ λαιᾷ καὶ μόνῃ
Πεντεμυριομέδιμνον καθείλκυσεν ὁλκάδα
Καὶ τοῦ Μαρκέλλου στρατηγοῦ ποτε δὲ τῶν Ῥωμαίων
Τῇ Συρακούσῃ κατὰ γῆν προσβάλλοντος καὶ πόντον,
Τινὰς μὲν πρῶτον μηχαναῖς ἀνείλκυσεν ὁλκάδας
Καὶ πρὸς τὸ Συρακούσιον τεῖχος μετεωρίσας
Αὐτάνδρους πάλιν τῷ βυθῷ κατεπέμπεν ἀθρόως,
Μαρκέλλου δ' ἀποστήσαντος μικρόν τι τὰς ὁλκάδας
Ὁ γέρων πάλιν ἅπαντας ποιεῖ Συρακουσίους

[a] A life of Archimedes was written by a certain Heraclides—perhaps the Heraclides who is mentioned by Archimedes himself in the preface to his book *On Spirals* (Archim. ed. Heiberg ii. 2. 3) as having taken his books to Dositheus. We know this from two references by Eutocius (Archim. ed. Heiberg iii. 228. 20, Apollon. ed. Heiberg ii. 168. 3, where, however, the name is given as Ἡράκλειος), but it has not survived. The surviving writings of Archimedes, together with the commentaries of Eutocius of Ascalon (*fl.* A.D. 520), have been edited by J. L. Heiberg in three volumes of the Teubner series (references in this volume are to the 2nd ed., Leipzig, 1910–1915). They have been put into mathematical notation by T. L. Heath, *The Works of Archimedes* (Cam-

XVII. ARCHIMEDES [a]

(a) General

Tzetzes, *Book of Histories* ii. 103-144 [b]

Archimedes the wise, the famous maker of engines, was a Syracusan by race, and worked at geometry till old age, surviving five-and-seventy-years [c]; he reduced to his service many mechanical powers, and with his triple-pulley device, using only his left hand, he drew a vessel of fifty thousand medimni burden. Once, when Marcellus, the Roman general, was assaulting Syracuse by land and sea, first by his engines he drew up some merchant-vessels, lifted them up against the wall of Syracuse, and sent them in a heap again to the bottom, crews and all. When Marcellus had withdrawn his ships a little distance, the old man gave all the Syracusans power to lift

bridge, 1897), supplemented by *The Method of Archimedes* (Cambridge, 1922), and have been translated into French by Paul Ver Eecke, *Les Œuvres complètes d'Archimède* (Brussels, 1921).

[b] The lines which follow are an example of the "political" (πολιτικός, popular) verse which prevailed in Byzantine times. The name is given to verse composed by accent instead of quantity, with an accent on the last syllable but one, especially an iambic verse of fifteen syllables. The twelfth-century Byzantine pedant, John Tzetzes, preserved in his *Book of Histories* a great treasure of literary, historical, theological and scientific detail, but it needs to be used with caution. The work is often called the *Chiliades* from its arbitrary division by its first editor (N. Gerbel, 1546) into books of 1000 lines each—it actually contains 12,674 lines.

[c] As he perished in the sack of Syracuse in 212 B.C., he was therefore born about 287 B.C.

Μετεωρίζειν δύνασθαι λίθους ἁμαξιαίους
Καὶ τὸν καθένα πέμποντας[1] βυθίζειν τὰς ὁλκάδας.
Ὡς Μάρκελλος δ' ἀπέστησε βολὴν ἐκείνας τόξου,
Ἑξάγωνόν τι κάτοπτρον ἐτέκτηνεν ὁ γέρων,
Ἀπὸ δὲ διαστήματος συμμέτρου τοῦ κατόπτρου
Μικρὰ τοιαῦτα κάτοπτρα θεὶς τετραπλᾶ γωνίαις
Κινούμενα λεπίσι τε καί τισι γιγγλυμίοις,
Μέσον ἐκεῖνο τέθεικεν ἀκτίνων τῶν ἡλίου
Μεσημβρινῆς καὶ θερινῆς καὶ χειμεριωτάτης.
Ἀνακλωμένων δὲ λοιπὸν εἰς τοῦτο τῶν ἀκτίνων
Ἔξαψις ἤρθη φοβερὰ πυρώδης ταῖς ὁλκάσι,
Καὶ ταύτας ἀπετέφρωσεν ἐκ μήκους τοξοβόλου.
Οὕτω νικᾷ τὸν Μάρκελλον ταῖς μηχαναῖς ὁ γέρων.
Ἔλεγε δὲ καὶ δωριστί, φωνῇ Συρακουσίᾳ·
" Πᾶ βῶ, καὶ χαριστίωνι τὰν γᾶν κινήσω πᾶσαν."

[1] πέμποντας Cary, πέμποντα codd.

---

[a] Unfortunately, the earliest authority for this story is Lucian, *Hipp.* 2: τὸν δὲ (sc. Ἀρχιμήδην) τὰς τῶν πολεμίων τριήρεις καταφλέξαντα τῇ τέχνῃ. It is also found in Galen, Περὶ κρασ. iii. 2, and Zonaras xiv. 3 relates it on the authority of Dion Cassius, but makes Proclus the hero of it.

[b] Further evidence is given by Tzetzes, *Chil.* xii. 995 and Eutocius (Archim. ed. Heiberg iii. 132. 5-6) that Archimedes wrote in the Doric dialect, but the extant text of his best-known works, *On the Sphere and Cylinder* and the *Measurement of a Circle*, retains only one genuine trace of its original Doric—the form τῆνον. Partial losses have occurred in other books, the *Sand-Reckoner* having suffered least. The subject is fully treated by Heiberg, *Quaestiones Archimedeae*, pp. 69-94, and in a preface to the second volume of his edition of Archimedes he indicates the words which he has restored to their Doric form despite the manuscripts; his text is adopted in this selection.

The loss of the original Doric is not the only defect in the stones large enough to load a waggon and, hurling them one after the other, to sink the ships. When Marcellus withdrew them a bow-shot, the old man constructed a kind of hexagonal mirror, and at an interval proportionate to the size of the mirror he set similar small mirrors with four edges, moved by links and by a form of hinge, and made it the centre of the sun's beams—its noon-tide beam, whether in summer or in mid-winter. Afterwards, when the beams were reflected in the mirror, a fearful kindling of fire was raised in the ships, and at the distance of a bow-shot he turned them into ashes.[a] In this way did the old man prevail over Marcellus with his weapons. In his Doric [b] dialect, and in its Syracusan variant, he declared : " If I have somewhere to stand, I will move the whole earth with my *charistion.*" [c]

text. The hand of an interpolator—often not particularly skilful—can be repeatedly detected, and there are many loose expressions which Archimedes would not have used, and occasional omissions of an essential step in his argument. Sometimes the original text can be inferred from the commentaries written by Eutocius, but these extend only to the books *On the Sphere and Cylinder*, the *Measurement of a Circle*, and *On Plane Equilibriums*. A partial loss of Doric forms had already occurred by the time of Eutocius, and it is believed that the works most widely read were completely recast a little later in the school of Isidorus of Miletus to make them more easily intelligible to pupils.

[c] The instrument is otherwise mentioned by Simplicius (*in Aristot. Phys.*, ed. Diels 1110. 2-5) and it is implied that it was used for weighing: *ταύτῃ δὲ τῇ ἀναλογίᾳ τοῦ κινοῦντος καὶ τοῦ κινουμένου καὶ τοῦ διαστήματος τὸ σταθμιστικὸν ὄργανον τὸν καλούμενον χαριστίωνα συστήσας ὁ Ἀρχιμήδης ὡς μέχρι παντὸς τῆς ἀναλογίας προχωρούσης ἐκόμπασεν ἐκεῖνο τὸ " πᾶ βῶ καὶ κινῶ τὰν γᾶν."* As Tzetzes in another place (*Chil.* iii. 61 : *ὁ γῆν ἀνασπῶν μηχανῇ τῇ τρισπάστῳ βοῶν· " ὅπα βῶ καὶ σαλεύσω τὴν χθόνα "*) writes of a triple-pulley device in the same connexion, it may be presumed to have been of this nature.

Οὗτος, κατὰ Διόδωρον, τῆς Συρακούσης ταύτης
Προδότου πρὸς τὸν Μάρκελλον ἀθρόως γενομένης,
Εἴτε, κατὰ τὸν Δίωνα, Ῥωμαίοις πορθηθείσης,
Ἀρτέμιδι τῶν πολιτῶν τότε παννυχιζόντων,
Τοιουτοτρόπως τέθνηκεν ὑπό τινος Ῥωμαίου.
Ἦν κεκυφώς, διάγραμμα μηχανικόν τι γράφων,
Τὶς δὲ Ῥωμαῖος ἐπιστὰς εἷλκεν αἰχμαλωτίζων.
Ὁ δὲ τοῦ διαγράμματος ὅλος ὑπάρχων τότε,
Τίς ὁ καθέλκων οὐκ εἰδώς, ἔλεγε πρὸς ἐκεῖνον·
" Ἀπόστηθι, ὦ ἄνθρωπε, τοῦ διαγράμματός μου."
Ὡς δ' εἷλκε τοῦτον συστραφεὶς καὶ γνοὺς
Ῥωμαῖον εἶναι,
Ἐβόα, " τὶ μηχάνημα τὶς τῶν ἐμῶν μοι δότω."
Ὁ δὲ Ῥωμαῖος πτοηθεὶς εὐθὺς ἐκεῖνον κτείνει,
Ἄνδρα σαθρὸν καὶ γέροντα, δαιμόνιον τοῖς ἔργοις.

Plut. *Marcellus* xiv. 7–xvii. 7

Καὶ μέντοι καὶ Ἀρχιμήδης, Ἱέρωνι τῷ βασιλεῖ συγγενὴς ὢν καὶ φίλος, ἔγραψεν ὡς τῇ δοθείσῃ δυνάμει τὸ δοθὲν βάρος κινῆσαι δυνατόν ἐστι· καὶ νεανιευσάμενος, ὥς φασι, ῥώμῃ τῆς ἀποδείξεως εἶπεν ὡς, εἰ γῆν εἶχεν ἑτέραν, ἐκίνησεν ἂν ταύτην μεταβὰς εἰς ἐκείνην. θαυμάσαντος δὲ τοῦ Ἱέρωνος, καὶ δεηθέντος εἰς ἔργον ἐξαγαγεῖν τὸ πρόβλημα καὶ δεῖξαί τι τῶν μεγάλων κινούμενον ὑπὸ σμικρᾶς δυνάμεως, ὁλκάδα τριάρμενον τῶν βασιλικῶν πόνῳ μεγάλῳ καὶ χειρὶ πολλῇ νεωλκηθεῖσαν, ἐμβαλὼν ἀνθρώπους τε πολλοὺς καὶ τὸν συνήθη φόρτον, αὐτὸς ἄπωθεν καθήμενος, οὐ μετὰ σπουδῆς, ἀλλὰ

[a] Diod. Sic. Frag. Book xxvi.
[b] The account of Dion Cassius has not survived.
[c] Zonaras ix. 5 adds that when he heard the enemy were

Whether, as Diodorus[a] asserts, Syracuse was betrayed and the citizens went in a body to Marcellus, or, as Dion[b] tells, it was plundered by the Romans, while the citizens were keeping a night festival to Artemis, he died in this fashion at the hands of one of the Romans. He was stooping down, drawing some diagram in mechanics, when a Roman came up and began to drag him away to take him prisoner. But he, being wholly intent at the time on the diagram, and not perceiving who was tugging at him, said to the man : " Stand away, fellow, from my diagram."[c] As the man continued pulling, he turned round and, realizing that he was a Roman, he cried, " Somebody give me one of my engines." But the Roman, scared, straightway slew him, a feeble old man but wonderful in his works.

Plutarch, *Marcellus* xiv. 7–xvii. 7

Archimedes, who was a kinsman and friend of King Hiero, wrote to him that with a given force it was possible to move any given weight ; and emboldened, as it is said, by the strength of the proof, he averred that, if there were another world and he could go to it, he would move this one. Hiero was amazed and besought him to give a practical demonstration of the problem and show some great object moved by a small force ; he thereupon chose a three-masted merchantman among the king's ships which had been hauled ashore with great labour by a large band of men, and after putting on board many men and the usual cargo, sitting some distance away and without any special effort, he pulled gently with his hand at

coming "πὰρ κεφαλάν" ἔφη "καὶ μὴ παρὰ γραμμάν"—"Let them come at my head," he said, "but not at my line."

ἠρέμα τῇ χειρὶ σείων ἀρχήν τινα πολυσπάστου προσηγάγετο λείως καὶ ἀπταίστως καὶ ὥσπερ διὰ θαλάττης ἐπιθέουσαν. ἐκπλαγεὶς οὖν ὁ βασιλεὺς καὶ συννοήσας τῆς τέχνης τὴν δύναμιν, ἔπεισε τὸν Ἀρχιμήδην ὅπως αὐτῷ τὰ μὲν ἀμυνομένῳ, τὰ δ' ἐπιχειροῦντι μηχανήματα κατασκευάσῃ πρὸς πᾶσαν ἰδέαν πολιορκίας, οἷς αὐτὸς μὲν οὐκ ἐχρήσατο, τοῦ βίου τὸ πλεῖστον ἀπόλεμον καὶ πανηγυρικὸν βιώσας, τότε δ' ὑπῆρχε τοῖς Συρακουσίοις εἰς δέον ἡ παρασκευὴ καὶ μετὰ τῆς παρασκευῆς ὁ δημιουργός.

Ὡς οὖν προσέβαλον οἱ Ῥωμαῖοι διχόθεν, ἔκπληξις ἦν τῶν Συρακουσίων καὶ σιγὴ διὰ δέος, μηδὲν ἂν ἀνθέξειν πρὸς βίαν καὶ δύναμιν οἰομένων τοσαύτην. σχάσαντος δὲ τὰς μηχανὰς τοῦ Ἀρχιμήδους ἅμα τοῖς μὲν πεζοῖς ἀπήντα τοξεύματά τε παντοδαπὰ καὶ λίθων ὑπέρογκα μεγέθη, ῥοίζῳ καὶ τάχει καταφερομένων ἀπίστῳ, καὶ μηδενὸς ὅλως τὸ βρῖθος στέγοντος ἀθρόους ἀνατρεπόντων τοὺς ὑποπίπτοντας καὶ τὰς τάξεις συγχεόντων, ταῖς δὲ ναυσὶν ἀπὸ τῶν τειχῶν ἄφνω ὑπεραιωρούμεναι κεραῖαι τὰς μὲν ὑπὸ βρίθους στηρίζοντος ἄνωθεν ὠθοῦσαι κατέδυον εἰς βυθόν, τὰς δὲ χερσὶ σιδηραῖς ἢ στόμασιν εἰκασμένοις γεράνων ἀνασπῶσαι πρῴραθεν ὀρθὰς ἐπὶ πρύμναν ἐβάπτιζον,

---

[a] πολυσπάστος. Galen, *in Hipp. De Artic.* iv. 47 uses the same word. Tzetzes (*loc. cit.*) speaks of a triple-pulley device (τῇ τρισπάστῳ μηχανῇ) in the same connexion, and Oribasius, *Coll. med.* xlix. 22 mentions the τρίσπαστος as an invention of Archimedes; he says that it was so called because it had three ropes, but Vitruvius says it was thus named because it had three wheels. Athenaeus v. 207 a-b says that a *helix* was used. Heath, *The Works of Archimedes*,

the end of a compound pulley [a] and drew the vessel smoothly and evenly towards himself as though she were running along the surface of the water. Astonished at this, and understanding the power of his art, the king persuaded Archimedes to construct for him engines to be used in every type of siege warfare, some defensive and some offensive ; he had not himself used these engines because he spent the greater part of his life remote from war and amid the rites of peace, but now his apparatus proved of great advantage to the Syracusans, and with the apparatus its inventor.[b]

Accordingly, when the Romans attacked them from two elements, the Syracusans were struck dumb with fear, thinking that nothing would avail against such violence and power. But Archimedes began to work his engines and hurled against the land forces all sorts of missiles and huge masses of stones, which came down with incredible noise and speed ; nothing at all could ward off their weight, but they knocked down in heaps those who stood in the way and threw the ranks into disorder. Furthermore, beams were suddenly thrown over the ships from the walls, and some of the ships were sent to the bottom by means of weights fixed to the beams and plunging down from above ; others were drawn up by iron claws, or crane-like beaks, attached to the prow and were

p. xx, suggests that the vessel, once started, was kept in motion by the system of pulleys, but the first impulse was given by a machine similar to the κοχλίας described by Pappus viii. ed. Hultsch 1066, 1108 ff., in which a cog-wheel with oblique teeth moves on a cylindrical helix turned by a handle.

[b] Similar stories of Archimedes' part in the defence are told by Polybius viii. 5. 3-5 and Livy xxiv. 34.

ἢ δι' ἀντιτόνων ἔνδον ἐπιστρεφόμεναι καὶ περιαγόμεναι τοῖς ὑπὸ τὸ τεῖχος πεφυκόσι κρημνοῖς καὶ σκοπέλοις προσήρασσον, ἅμα φθόρῳ πολλῷ τῶν ἐπιβατῶν συντριβομένων. πολλάκις δὲ μετέωρος ἐξαρθεῖσα ναῦς ἀπὸ τῆς θαλάσσης δεῦρο κἀκεῖσε περιδινουμένη καὶ κρεμαμένη θέαμα φρικῶδες ἦν, μέχρι οὗ τῶν ἀνδρῶν ἀπορριφέντων καὶ διασφενδονηθέντων κενὴ προσπέσοι τοῖς τείχεσιν ἢ περιολίσθοι τῆς λαβῆς ἀνείσης. ἣν δὲ ὁ Μάρκελλος ἀπὸ τοῦ ζεύγματος ἐπῆγε μηχανήν, σαμβύκη μὲν ἐκαλεῖτο δι' ὁμοιότητά τινα σχήματος πρὸς τὸ μουσικὸν ὄργανον, ἔτι δὲ ἄπωθεν αὐτῆς προσφερομένης πρὸς τὸ τεῖχος ἐξήλατο λίθος δεκατάλαντος ὁλκήν, εἶτα ἕτερος ἐπὶ τούτῳ καὶ τρίτος, ὧν οἱ μεν αὐτῇ[1] ἐμπεσόντες μεγάλῳ κτύπῳ καὶ κλύδωνι τῆς μηχανῆς τήν τε βάσιν συνηλόησαν καὶ τὸ γόμφωμα διέσεισαν καὶ διέσπασαν τοῦ ζεύγματος, ὥστε τὸν Μάρκελλον ἀπορούμενον αὐτόν τε ταῖς ναυσὶν ἀποπλεῖν κατὰ τάχος καὶ τοῖς πεζοῖς ἀναχώρησιν παρεγγυῆσαι.

Βουλευομένοις δὲ ἔδοξεν αὐτοῖς ἔτι νυκτός, ἂν δύνωνται, προσμῖξαι τοῖς τείχεσι· τοὺς γὰρ τόνους, οἷς χρῆσθαι τὸν Ἀρχιμήδην, ῥύμην ἔχοντας ὑπερπετεῖς ποιήσεσθαι τὰς τῶν βελῶν ἀφέσεις, ἐγγύθεν δὲ καὶ τελέως ἀπράκτους εἶναι διάστημα τῆς πληγῆς οὐκ ἐχούσης. ὁ δ' ἦν, ὡς ἔοικεν, ἐπὶ ταῦτα πάλαι παρεσκευασμένος ὀργάνων τε συμμέτρους πρὸς πᾶν διάστημα κινήσεις καὶ βέλη βραχέα, καὶ διὰ ⟨τὸ τεῖχος[2]⟩ οὐ μεγάλων, πολλῶν

[1] αὐτῇ Coraës, αὐτῆς codd.
[2] τὸ τεῖχος add. Sintenis ex Polyb.

plunged down on their sterns, or were twisted round and turned about by means of ropes within the city, and dashed against the cliffs set by Nature under the wall and against the rocks, with great destruction of the crews, who were crushed to pieces. Often there was the fearful sight of a ship lifted out of the sea into mid-air and whirled about as it hung there, until the men had been thrown out and shot in all directions, when it would fall empty upon the walls or slip from the grip that had held it. As for the engine which Marcellus was bringing up from the platform of ships, and which was called *sambuca* from some resemblance in its shape to the musical instrument,[a] while it was still some distance away as it was being carried to the wall a stone ten talents in weight was discharged at it, and after this a second and a third ; some of these, falling upon it with a great crash and sending up a wave, crushed the base of the engine, shook the framework and dislodged it from the barrier, so that Marcellus in perplexity sailed away in his ships and passed the word to his land forces to retire.

In a council of war it was decided to approach the walls, if they could, while it was still night ; for they thought that the ropes used by Archimedes, since they gave a powerful impetus, would send the missiles over their heads and would fail in their object at close quarters since there was no space for the cast. But Archimedes, it seems, had long ago prepared for such a contingency engines adapted to all distances and missiles of short range, and through openings in the

[a] The *σαμβύκη* was a triangular musical instrument with four strings. Polybius (viii. 6) states that Marcellus had eight quinqueremes in pairs locked together, and on each pair a " sambuca " had been erected ; it served as a penthouse for raising soldiers on to the battlements.

δὲ καὶ συνεχῶν τρημάτων ⟨ὄντων[1]⟩, οἱ σκορπίοι βραχύτονοι μέν, ἐγγύθεν δὲ πλῆξαι παρεστήκεσαν ἀόρατοι τοῖς πολεμίοις.

Ὡς οὖν προσέμιξαν οἰόμενοι λανθάνειν, αὖθις αὖ βέλεσι πολλοῖς ἐντυγχάνοντες καὶ πληγαῖς, πετρῶν μὲν ἐκ κεφαλῆς ἐπ' αὐτοὺς φερομένων ὥσπερ πρὸς κάθετον, τοῦ δὲ τείχους τοξεύματα πανταχόθεν ἀναπέμποντος, ἀνεχώρουν ὀπίσω. κἀνταῦθα πάλιν αὐτῶν εἰς μῆκος ἐκτεταγμένων, βελῶν ἐκθεόντων καὶ καταλαμβανόντων ἀπιόντας ἐγίνετο πολὺς μὲν αὐτῶν φθόρος, πολὺς δὲ τῶν νεῶν συγκρουσμός, οὐδὲν ἀντιδρᾶσαι τοὺς πολεμίους δυναμένων. τὰ γὰρ πλεῖστα τῶν ὀργάνων ὑπὸ τὸ τεῖχος ἐσκευοποίητο τῷ Ἀρχιμήδει, καὶ θεομαχοῦσιν ἐῴκεσαν οἱ Ῥωμαῖοι, μυρίων αὐτοῖς κακῶν ἐξ ἀφανοῦς ἐπιχεομένων.

Οὐ μὴν ἀλλ' ὁ Μάρκελλος ἀπέφυγέ τε καὶ τοὺς σὺν ἑαυτῷ σκώπτων τεχνίτας καὶ μηχανοποιοὺς ἔλεγεν· "οὐ παυσόμεθα πρὸς τὸν γεωμετρικὸν τοῦτον Βριάρεων πολεμοῦντες, ὃς ταῖς μὲν ναυσὶν[2] ἡμῶν κυαθίζει ἐκ τῆς θαλάσσης, τὴν δὲ σαμβύκην ῥαπίζων[2] μετ' αἰσχύνης ἐκβέβληκε, τοὺς δὲ μυθικοὺς ἑκατόγχειρας ὑπεραίρει τοσαῦτα βάλλων ἅμα βέλη καθ' ἡμῶν;" τῷ γὰρ ὄντι πάντες οἱ λοιποὶ Συρακούσιοι σῶμα τῆς Ἀρχιμήδους παρασκευῆς ἦσαν, ἡ δὲ κινοῦσα πάντα καὶ στρέφουσα ψυχὴ μία, τῶν μὲν ἄλλων ὅπλων ἀτρέμα κειμένων, μόνοις δὲ τοῖς ἐκείνου τότε τῆς πόλεως χρωμένης καὶ πρὸς ἄμυναν καὶ πρὸς ἀσφάλειαν. τέλος δὲ τοὺς Ῥωμαίους οὕτω περιφόβους γεγονότας ὁρῶν ὁ Μάρκελλος ὥστ', εἰ καλῴδιον ἢ ξύλον ὑπὲρ τοῦ

[1] ὄντων add. Sintenis ex Polyb.

wall, small in size but many and continuous, short-ranged engines called scorpions could be trained on objects close at hand without being seen by the enemy.

When, therefore, the Romans approached the walls, thinking to escape notice, once again they were met by the impact of many missiles; stones fell down on them almost perpendicularly, the wall shot out arrows at them from all points, and they withdrew to the rear. Here again, when they were drawn up some distance away, missiles flew forth and caught them as they were retiring, and caused much destruction among them; many of the ships, also, were dashed together and they could not retaliate upon the enemy. For Archimedes had made the greater part of his engines under the wall, and the Romans seemed to be fighting against the gods, inasmuch as countless evils were poured upon them from an unseen source.

Nevertheless Marcellus escaped, and, twitting his artificers and craftsmen, he said: "Shall we not cease fighting against this geometrical Briareus, who uses our ships like cups to ladle water from the sea, who has whipped our *sambuca* and driven it off in disgrace, and who outdoes all the hundred-handed monsters of fable in hurling so many missiles against us all at once?" For in reality all the other Syracusans were only a body for Archimedes' apparatus, and his the one soul moving and turning everything: all other weapons lay idle, and the city then used his alone, both for offence and for defence. In the end the Romans became so filled with fear that, if they saw a little piece of rope or of wood projecting over

---

[2] *ταῖς μὲν ναυσὶν . . . ῥαπίζων* an anonymous correction from Polybius, *τὰς μὲν ναῦς ἡμῶν καθίζων πρὸς τὴν θάλασσαν παίζων* codd.

τείχους μικρὸν ὀφθείη προτεινόμενον, τοῦτο ἐκεῖνο, μηχανήν τινα κινεῖν ἐπ' αὐτοὺς Ἀρχιμήδη βοῶντας ἀποτρέπεσθαι καὶ φεύγειν, ἀπέσχετο μάχης ἁπάσης καὶ προσβολῆς, τὸ λοιπὸν ἐπὶ τῷ χρόνῳ τὴν πολιορκίαν θέμενος.

Τηλικοῦτον μέντοι φρόνημα καὶ βάθος ψυχῆς καὶ τοσοῦτον ἐκέκτητο θεωρημάτων πλοῦτον Ἀρχιμήδης ὥστε, ἐφ' οἷς ὄνομα καὶ δόξαν οὐκ ἀνθρωπίνης, ἀλλὰ δαιμονίου τινὸς ἔσχε συνέσεως, μηθὲν ἐθελῆσαι σύγγραμμα περὶ τούτων ἀπολιπεῖν, ἀλλὰ τὴν περὶ τὰ μηχανικὰ πραγματείαν καὶ πᾶσαν ὅλως τέχνην χρείας ἐφαπτομένην ἀγεννῆ καὶ βάναυσον ἡγησάμενος, εἰς ἐκεῖνα καταθέσθαι μόνα τὴν αὑτοῦ φιλοτιμιάν οἷς τὸ καλὸν καὶ περιττὸν ἀμιγὲς τοῦ ἀναγκαίου πρόσεστιν, ἀσύγκριτα μὲν ὄντα τοῖς ἄλλοις, ἔριν δὲ παρέχοντα πρὸς τὴν ὕλην τῇ ἀποδείξει, τῆς μὲν τὸ μέγεθος καὶ τὸ κάλλος, τῆς δὲ τὴν ἀκρίβειαν καὶ τὴν δύναμιν ὑπερφυῆ παρεχομένης· οὐ γὰρ ἔστιν ἐν γεωμετρίᾳ χαλεπωτέρας καὶ βαρυτέρας ὑποθέσεις ἐν ἁπλουστέροις λαβεῖν καὶ καθαρωτέροις στοιχείοις γραφομένας. καὶ τοῦθ' οἱ μὲν εὐφυΐᾳ τοῦ ἀνδρὸς προσάπτουσιν, οἱ δὲ ὑπερβολῇ τινι πόνου νομίζουσιν ἀπόνως πεποιημένῳ καὶ ῥᾳδίως ἕκαστον ἐοικὸς γεγονέναι. ζητῶν μὲν γὰρ οὐκ ἄν τις εὕροι δι' αὑτοῦ τὴν ἀπόδειξιν, ἅμα δὲ τῇ μαθήσει παρίσταται δόξα τοῦ κἂν αὐτὸν εὑρεῖν· οὕτω λείαν ὁδὸν ἄγει[1] καὶ ταχεῖαν ἐπὶ τὸ δεικνύμενον. οὔκουν οὐδὲ ἀπιστῆσαι τοῖς περὶ αὐτοῦ λεγομένοις ἐστίν, ὡς ὑπ' οἰκείας δή τινος καὶ συνοίκου θελγόμενος ἀεὶ σειρῆνος ἐλέληστο καὶ σίτου καὶ θεραπείας σώματος ἐξέλειπε, βίᾳ δὲ πολλάκις ἑλκόμενος ἐπ' ἄλειμμα καὶ the wall, they cried, "There it is, Archimedes is training some engine upon us," and fled; seeing this Marcellus abandoned all fighting and assault, and for the future relied on a long siege.

Yet Archimedes possessed so lofty a spirit, so profound a soul, and such a wealth of scientific inquiry, that although he had acquired through his inventions a name and reputation for divine rather than human intelligence, he would not deign to leave behind a single writing on such subjects. Regarding the business of mechanics and every utilitarian art as ignoble and vulgar, he gave his zealous devotion only to those subjects whose elegance and subtlety are untrammelled by the necessities of life; these subjects, he held, cannot be compared with any others; in them the subject-matter vies with the demonstration, the former possessing strength and beauty, the latter precision and surpassing power; for it is not possible to find in geometry more difficult and weighty questions treated in simpler and purer terms. Some attribute this to the natural endowments of the man, others think it was the result of exceeding labour that everything done by him appeared to have been done without labour and with ease. For although by his own efforts no one could discover the proof, yet as soon as he learns it, he takes credit that he could have discovered it: so smooth and rapid is the path by which he leads to the conclusion. For these reasons there is no need to disbelieve the stories told about him—how, continually bewitched by some familiar siren dwelling with him, he forgot his food and neglected the care of his body; and how, when he was dragged by main force, as often happened, to the

[1] ἄγει Bryan, ἄγειν codd.

λουτρόν, ἐν ταῖς ἐσχάραις ἔγραφε σχήματα τῶν γεωμετρικῶν, καὶ τοῦ σώματος ἀληλιμμένου διῆγε τῷ δακτύλῳ γραμμάς, ὑπὸ ἡδονῆς μεγάλης κάτοχος ὢν καὶ μουσόληπτος ἀληθῶς. πολλῶν δὲ καὶ καλῶν εὑρετὴς γεγονὼς λέγεται τῶν φίλων δεηθῆναι καὶ τῶν συγγενῶν ὅπως αὐτοῦ μετὰ τὴν τελευτὴν ἐπιστήσωσι τῷ τάφῳ τὸν περιλαμβάνοντα τὴν σφαῖραν ἐντὸς κύλινδρον, ἐπιγράψαντες τὸν λόγον τῆς ὑπεροχῆς τοῦ περιέχοντος στερεοῦ πρὸς τὸ περιεχόμενον.

Ibid. xix. 4-6

Μάλιστα δὲ τὸ Ἀρχιμήδους πάθος ἠνίασε Μάρκελλον. ἔτυχε μὲν γὰρ αὐτός τι καθ᾽ ἑαυτὸν ἀνασκοπῶν ἐπὶ διαγράμματος· καὶ τῇ θεωρίᾳ δεδωκὼς ἅμα τήν τε διάνοιαν καὶ τὴν πρόσοψιν οὐ προῄσθετο τὴν καταδρομὴν τῶν Ῥωμαίων οὐδὲ τὴν ἅλωσιν τῆς πόλεως, ἄφνω δὲ ἐπιστάντος αὐτῷ στρατιώτου καὶ κελεύοντος ἀκολουθεῖν πρὸς Μάρκελλον οὐκ ἐβούλετο πρὶν ἢ τελέσαι τὸ πρόβλημα καὶ καταστῆσαι πρὸς τὴν ἀπόδειξιν. ὁ δὲ ὀργισθεὶς καὶ σπασάμενος τὸ ξίφος ἀνεῖλεν αὐτόν. ἕτεροι μὲν οὖν λέγουσιν ἐπιστῆναι μὲν εὐθὺς ὡς ἀποκτενοῦντα ξιφήρη τὸν Ῥωμαῖον, ἐκεῖνον δ᾽ ἰδόντα δεῖσθαι καὶ ἀντιβολεῖν ἀναμεῖναι βραχὺν χρόνον, ὡς μὴ καταλίπῃ τὸ ζητούμενον ἀτελὲς καὶ ἀθεώρητον, τὸν δὲ οὐ φροντίσαντα διαχρήσασθαι. καὶ τρίτος ἐστὶ λόγος, ὡς κομίζοντι πρὸς Μάρκελλον αὐτῷ τῶν μαθηματικῶν ὀργάνων σκιόθηρα καὶ σφαίρας καὶ γωνίας, αἷς ἐναρμόττει

[a] Cicero, when quaestor in Sicily, found this tomb over-

place for bathing and anointing, he would draw geometrical figures in the hearths, and draw lines with his finger in the oil with which his body was anointed, being overcome by great pleasure and in truth inspired of the Muses. And though he made many elegant discoveries, he is said to have besought his friends and kinsmen to place on his grave after his death a cylinder enclosing a sphere, with an inscription giving the proportion by which the including solid exceeds the included.[a]

Ibid. xix. 4-6

But what specially grieved Marcellus was the death of Archimedes. For it chanced that he was alone, examining a diagram closely ; and having fixed both his mind and his eyes on the object of his inquiry, he perceived neither the inroad of the Romans nor the taking of the city. Suddenly a soldier came up to him and bade him follow to Marcellus, but he would not go until he had finished the problem and worked it out to the demonstration. Thereupon the soldier became enraged, drew his sword and dispatched him. Others, however, say that the Roman came upon him with drawn sword intending to kill him at once, and that Archimedes, on seeing him, besought and entreated him to wait a little while so that he might not leave the question unfinished and only partly investigated ; but the soldier did not understand and slew him. There is also a third story, that as he was carrying to Marcellus some of his mathematical instruments, such as sundials, spheres and

grown with vegetation, but still bearing the cylinder with the sphere, and he restored it (*Tusc. Disp.* v. 64-66). The theorem proving the proportion is given *infra*, pp. 124-127.

τὸ τοῦ ἡλίου μέγεθος πρὸς τὴν ὄψιν, στρατιῶται περιτυχόντες καὶ χρυσίον ἐν τῷ τεύχει δόξαντες φέρειν ἀπέκτειναν. ὅτι μέντοι Μάρκελλος ἤλγησε καὶ τὸν αὐτόχειρα τοῦ ἀνδρὸς ἀπεστράφη καθάπερ ἐναγῆ, τοὺς δὲ οἰκείους ἀνευρὼν ἐτίμησεν, ὁμολογεῖται.

Papp. *Coll.* viii. 11. 19, ed. Hultsch 1060. 1-4

Τῆς αὐτῆς δέ ἐστιν θεωρίας τὸ δοθὲν βάρος τῇ δοθείσῃ δυνάμει κινῆσαι· τοῦτο γὰρ Ἀρχιμήδους μὲν εὕρημα [λέγεται][1] μηχανικόν, ἐφ' ᾧ λέγεται εἰρηκέναι· "δός μοί (φησι) ποῦ στῶ καὶ κινῶ τὴν γῆν."

Diod. Sic. i. 34. 2

Ποταμόχωστος γὰρ οὖσα καὶ κατάρρυτος πολλοὺς καὶ παντοδαποὺς ἐκφέρει καρπούς, τοῦ μὲν ποταμοῦ διὰ τὴν κατ' ἔτος ἀνάβασιν νεαρὰν ἰλὺν ἀεὶ καταχέοντος, τῶν δ' ἀνθρώπων ῥᾳδίως ἅπασαν ἀρδευόντων διά τινος μηχανῆς, ἣν ἐπενόησε μὲν Ἀρχιμήδης ὁ Συρακόσιος, ὀνομάζεται δὲ ἀπὸ τοῦ σχήματος κοχλίας.

Ibid. v. 37. 3

Τὸ πάντων παραδοξότατον, ἀπαρύτουσι τὰς ῥύσεις τῶν ὑδάτων τοῖς Αἰγυπτιακοῖς λεγομένοις κοχλίαις, οὓς Ἀρχιμήδης ὁ Συρακόσιος εὗρεν, ὅτε παρέβαλεν εἰς Αἴγυπτον.

[1] λέγεται om. Hultsch.

---

[a] Diodorus is writing of the island in the delta of the Nile.
[b] It may be inferred that he studied with the successors of Euclid at Alexandria, and it was there perhaps that he made the acquaintance of Conon of Samos, to whom, as

angles adjusted to the apparent size of the sun, some soldiers fell in with him and, under the impression that he carried treasure in the box, killed him. What is, however, agreed is that Marcellus was distressed, and turned away from the slayer as from a polluted person, and sought out the relatives of Archimedes to do them honour.

Pappus, *Collection* viii. 11. 19, ed. Hultsch 1060. 1-4

To the same type of inquiry belongs the problem: *To move a given weight by a given force.* This is one of Archimedes' discoveries in mechanics, whereupon he is said to have exclaimed: "Give me somewhere to stand and I will move the earth."

Diodorus Siculus i. 34. 2

As it is made of silt watered by the river after being deposited, it [a] bears an abundance of fruits of all kinds; for in the annual rising the river continually pours over it fresh alluvium, and men easily irrigate the whole of it by means of a certain instrument conceived by Archimedes of Syracuse, and which gets its name because it has the form of a spiral or *screw*.

Ibid. v. 37. 3

Most remarkable of all, they draw off streams of water by the so-called Egyptian screws, which Archimedes of Syracuse invented when he went by ship to Egypt.[b]

the preface to his books *On the Sphere and Cylinder* shows, he used to communicate his discoveries before publication, and Eratosthenes of Cyrene, to whom he sent the *Method* and probably the *Cattle Problem*.

Vitr. *De Arch.* ix., Praef. 9-12

Archimedis vero cum multa miranda inventa et varia fuerint, ex omnibus etiam infinita sollertia id quod exponam videtur esse expressum. Nimium Hiero Syracusis auctus regia potestate, rebus bene gestis cum auream coronam votivam diis immortalibus in quodam fano constituisset ponendam, manupretio locavit faciendam et aurum ad sacoma adpendit redemptori. Is ad tempus opus manu factum subtiliter regi adprobavit et ad sacoma pondus coronae visus est praestitisse. Posteaquam indicium est factum dempto auro tantundem argenti in id coronarium opus admixtum esse, indignatus Hiero se contemptum esse neque inveniens qua ratione id furtum deprehenderet, rogavit Archimeden uti insumeret sibi de eo cogitationem. Tunc is cum haberet eius rei curam, casu venit in balineum ibique cum in solium descenderet, animadvertit quantum corporis sui in eo insideret tantum aquae extra solium effluere. Idque cum eius rei rationem explicationis ostendisset, non est moratus sed exsiluit gaudio motus de solio et nudus vadens domum versus significabat clara voce invenisse quod quaereret. Nam currens identidem graece clamabat εὕρηκα εὕρηκα.[a]

Tum vero ex eo inventionis ingressu duas fecisse dicitur massas aequo pondere quo etiam fuerat corona, unam ex auro et alteram ex argento. Cum ita fecisset, vas amplum ad summa labra implevit

---

[a] "I have found, I have found."

Vitruvius, *On Architecture* ix., Preface 9-1

Archimedes made many wonderful discoveries of different kinds, but of all these that which I shall now explain seems to exhibit a boundless ingenuity. When Hiero was greatly exalted in the royal power at Syracuse, in return for the success of his policy he determined to set up in a certain shrine a golden crown as a votive offering to the immortal gods. He let out the work for a stipulated payment, and weighed out the exact amount of gold for the contractor. At the appointed time the contractor brought his work skilfully executed for the king's approval, and he seemed to have fulfilled exactly the requirement about the weight of the crown. Later information was given that gold had been removed and an equal weight of silver added in the making of the crown. Hiero was indignant at this disrespect for himself, and, being unable to discover any means by which he might unmask the fraud, he asked Archimedes to give it his attention. While Archimedes was turning the problem over, he chanced to come to the place of bathing, and there, as he was sitting down in the tub, he noticed that the amount of water which flowed over the tub was equal to the amount by which his body was immersed. This indicated to him a means of solving the problem, and he did not delay, but in his joy leapt out of the tub and, rushing naked towards his home, he cried out with a loud voice that he had found what he sought. For as he ran he repeatedly shouted in Greek, *heureka, heureka.*[a]

Then, following up his discovery, he is said to have made two masses of the same weight as the crown, the one of gold and the other of silver. When he had so done, he filled a large vessel right up to the brim aqua, in quo demisit argenteam massam. Cuius quanta magnitudo in vase depressa est, tantum aquae effluxit. Ita exempta massa quanto minus factum fuerat refudit sextario mensus, ut eodem modo quo prius fuerat ad labra aequaretur. Ita ex eo invenit quantum pondus argenti ad certam aquae mensuram responderet.

Cum id expertus esset, tum auream massam similiter pleno vase demisit et ea exempta eadem ratione mensura addita invenit deesse aquae non tantum sed minus, quanto minus magno corpore eodem pondere auri massa esset quam argenti. Postea vero repleto vase in eadem aqua ipsa corona demissa invenit plus aquae defluxisse in coronam quam in auream eodem pondere massam, et ita ex eo quod defuerit plus aquae in corona quam in massa, ratiocinatus deprehendit argenti in auro mixtionem et manifestum furtum redemptoris.

---

[a] The method may be thus expressed analytically.

Let w be the weight of the crown, and let it be made up of a weight w_1 of gold and a weight w_2 of silver, so that $w = w_1 + w_2$.

Let the crown displace a volume v of water.

Let the weight w of gold displace a volume v_1 of water; then a weight w_1 of gold displaces a volume $\frac{w_1}{w} \cdot v_1$ of water.

Let the weight w of silver displace a volume v_2 of water;

with water, into which he dropped the silver mass. The amount by which it was immersed in the vessel was the amount of water which overflowed. Taking out the mass, he poured back the amount by which the water had been depleted, measuring it with a pint pot, so that as before the water was made level with the brim. In this way he found what weight of silver answered to a certain measure of water.

When he had made this test, in like manner he dropped the golden mass into the full vessel. Taking it out again, for the same reason he added a measured quantity of water, and found that the deficiency of water was not the same, but less ; and the amount by which it was less corresponded with the excess of a mass of silver, having the same weight, over a mass of gold. After filling the vessel again, he then dropped the crown itself into the water, and found that more water overflowed in the case of the crown than in the case of the golden mass of identical weight ; and so, from the fact that more water was needed to make up the deficiency in the case of the crown than in the case of the mass, he calculated and detected the mixture of silver with the gold and the contractor's fraud stood revealed.[a]

then a weight w_2 of silver displaces a volume $\frac{w_2}{w} \cdot v_2$ of water.

It follows that
$$v=\frac{w_1}{w} \cdot v_1+\frac{w_2}{w} \cdot v_2$$
$$=\frac{w_1 v_1+w_2 v_2}{w_1+w_2},$$
so that
$$\frac{w_1}{w_2}=\frac{v_2-v}{v-v_1}.$$

For an alternative method of solving the problem, *v. infra*, pp. 248-251.

(*b*) Surface and Volume of the Cylinder and Sphere

Archim. *De Sphaera et Cyl.* i., Archim. ed. Heiberg i. 2–132. 3

Ἀρχιμήδης Δοσιθέῳ χαίρειν

Πρότερον μὲν ἀπέσταλκά σοι τῶν ὑφ' ἡμῶν τεθεωρημένων γράψας μετὰ ἀποδείξεως, ὅτι πᾶν τμῆμα τὸ περιεχόμενον ὑπό τε εὐθείας καὶ ὀρθογωνίου κώνου τομῆς ἐπίτριτόν ἐστι τριγώνου τοῦ βάσιν τὴν αὐτὴν ἔχοντος τῷ τμήματι καὶ ὕψος ἴσον· ὕστερον δὲ ἡμῖν ὑποπεσόντων θεωρημάτων ἀξίων λόγου[1] πεπραγματεύμεθα περὶ τὰς ἀποδείξεις αὐτῶν. ἔστιν δὲ τάδε· πρῶτον μέν, ὅτι πάσης σφαίρας ἡ ἐπιφάνεια τετραπλασία ἐστὶν τοῦ μεγίστου κύκλου τῶν ἐν αὐτῇ· ἔπειτα δέ, ὅτι παντὸς τμήματος σφαίρας τῇ ἐπιφανείᾳ ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ εὐθείᾳ τῇ ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος ἀγομένῃ ἐπὶ τὴν περιφέρειαν τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ τμήματος·

[1] ἀξίων λόγου cod., ἀνελέγκτων coni. Heath.

[a] The chief results of this book are described in the prefatory letter to Dositheus. In this selection as much as possible is given of what is essential to finding the proportions between the surface and volume of the sphere and the surface and volume of the enclosing cylinder, which Archimedes regarded as his crowning achievement (*supra*, p. 32). In the case of the surface, the whole series of propositions is reproduced so that the reader may follow in detail the majestic chain of reasoning by which Archimedes, starting from seemingly remote premises, reaches the desired conclusion; in the case of the volume only the final proposition (34) can be given, for reasons of space, but the reader will be able to prove the omitted theorems for himself. *Pari passu* with

(b) Surface and Volume of the Cylinder and Sphere

Archimedes. *On the Sphere and Cylinder* i., Archim. ed. Heiberg i. 2–132. 3[a]

Archimedes to Dositheus greeting

On a previous occasion I sent you, together with the proof, so much of my investigations as I had set down in writing, namely, that *any segment bounded by a straight line and a section of a right-angled cone is four-thirds of the triangle having the same base as the segment and equal height.*[b] Subsequently certain theorems deserving notice occurred to me, and I have worked out the proofs. They are these: first, that *the surface of any sphere is four times the greatest of the circles in it*[c]; then, that *the surface of any segment of a sphere is equal to a circle whose radius is equal to the straight line drawn from the vertex of the segment to the circumference of the circle which is the base of the segment*[d]; and,

this demonstration, Archimedes finds the surface and volume of any segment of a sphere. The method in each case is to inscribe in the sphere or segment of a sphere, and to circumscribe about it, figures composed of cones and frusta of cones. The sphere or segment of a sphere is intermediate in surface and volume between the inscribed and circumscribed figures, and in the limit, when the number of sides in the inscribed and circumscribed figures is indefinitely increased, it would become identical with them. It will readily be appreciated that Archimedes' method is fundamentally the same as integration, and on p. 116 n. *b* this will be shown trigonometrically.

[b] This is proved in Props. 17 and 24 of the *Quadrature of the Parabola*, sent to Dositheus of Pelusium with a prefatory letter, *v.* pp. 228-243, *infra.*

[c] *De Sphaera et Cyl.* i. 30. "The greatest of the circles," here and elsewhere, is equivalent to "a great circle."

[d] *Ibid.* i. 42, 43.

πρὸς δὲ τούτοις, ὅτι πάσης σφαίρας ὁ κύλινδρος ὁ βάσιν μὲν ἔχων ἴσην τῷ μεγίστῳ κύκλῳ τῶν ἐν τῇ σφαίρᾳ, ὕψος δὲ ἴσον τῇ διαμέτρῳ τῆς σφαίρας αὐτός τε ἡμιόλιός ἐστιν τῆς σφαίρας, καὶ ἡ ἐπιφάνεια αὐτοῦ τῆς ἐπιφανείας τῆς σφαίρας. ταῦτα δὲ τὰ συμπτώματα τῇ φύσει προυπῆρχεν περὶ τὰ εἰρημένα σχήματα, ἠγνοεῖτο δὲ ὑπὸ τῶν πρὸ ἡμῶν περὶ γεωμετρίαν ἀνεστραμμένων οὐδενὸς αὐτῶν ἐπινενοηκότος, ὅτι τούτων τῶν σχημάτων ἐστὶν συμμετρία. . . . ἐξέσται δὲ περὶ τούτων ἐπισκέψασθαι τοῖς δυνησομένοις. ὤφειλε μὲν οὖν Κόνωνος *ἔτι ζῶντος ἐκδίδοσθαι ταῦτα· τῆνον γὰρ ὑπολαμβάνομέν που μάλιστα ἂν δύνασθαι κατανοῆσαι ταῦτα καὶ τὴν ἁρμόζουσαν ὑπὲρ αὐτῶν ἀπόφασιν ποιήσασθαι· δοκιμάζοντες δὲ καλῶς ἔχειν μεταδιδόναι τοῖς οἰκείοις τῶν μαθημάτων ἀποστέλλομέν σοι τὰς ἀποδείξεις ἀναγράψαντες, ὑπὲρ ὧν ἐξέσται τοῖς περὶ τὰ μαθήματα ἀναστρεφομένοις ἐπισκέψασθαι. ἐρρωμένως.*

Γ*ράφονται πρῶτον τά τε ἀξιώματα καὶ τὰ λαμβανόμενα εἰς τὰς ἀποδείξεις αὐτῶν.*

Ἀ*ξιώματα*

α′. Εἰ*σί τινες ἐν ἐπιπέδῳ καμπύλαι γραμμαὶ πεπερασμέναι, αἳ τῶν τὰ πέρατα ἐπιζευγνυουσῶν αὐτῶν εὐθειῶν ἤτοι ὅλαι ἐπὶ τὰ αὐτά εἰσιν ἢ οὐδὲν ἔχουσιν ἐπὶ τὰ ἕτερα.*

β′. Ἐ*πὶ τὰ αὐτὰ δὴ κοίλην καλῶ τὴν τοιαύτην γραμμήν, ἐν ᾗ ἐὰν δύο σημείων λαμβανομένων*

---

[a] *De Sphaera et Cyl.* i. 34 coroll. The surface of the cylinder here includes the bases.

further, that, *in the case of any sphere, the cylinder having its base equal to the greatest of the circles in the sphere, and height equal to the diameter of the sphere, is one-and-a-half times the sphere, and its surface is one-and-a-half times the surface of the sphere.*[a] Now these properties were inherent in the nature of the figures mentioned, but they were unknown to all who studied geometry before me, nor did any of them suspect such a relationship in these figures.[b] . . . But now it will be possible for those who have the capacity to examine these discoveries of mine. They ought to have been published while Conon was still alive, for I opine that he more than others would have been able to grasp them and pronounce a fitting verdict upon them ; but, holding it well to communicate them to students of mathematics, I send you the proofs that I have written out, which proofs will now be open to those who are conversant with mathematics. Farewell.

In the first place, the axioms and the assumptions used for the proofs of these theorems are here set out.

AXIOMS [c]

1. There are in a plane certain finite bent lines which either lie wholly on the same side of the straight lines joining their extremities or have no part on the other side.

2. I call *concave in the same direction* a line such that, if any two points whatsoever are taken on it, either

[b] In the omitted passage which follows, Archimedes compares his discoveries with those of Eudoxus ; it has already been given, vol. i. pp. 408-411.

[c] These so-called axioms are more in the nature of definitions.

ὁποιωνοῦν αἱ μεταξὺ τῶν σημείων εὐθεῖαι ἤτοι πᾶσαι ἐπὶ τὰ αὐτὰ πίπτουσιν τῆς γραμμῆς, ἢ τινὲς μὲν ἐπὶ τὰ αὐτά, τινὲς δὲ κατ᾽ αὐτῆς, ἐπὶ τὰ ἕτερα δὲ μηδεμία.

γʹ. Ὁμοίως δὴ καὶ ἐπιφάνειαί τινές εἰσιν πεπερασμέναι, αὐταὶ μὲν οὐκ ἐν ἐπιπέδῳ, τὰ δὲ πέρατα ἔχουσαι ἐν ἐπιπέδῳ, αἳ τοῦ ἐπιπέδου, ἐν ᾧ τὰ πέρατα ἔχουσιν, ἤτοι ὅλαι ἐπὶ τὰ αὐτὰ ἔσονται ἢ οὐδὲν ἔχουσιν ἐπὶ τὰ ἕτερα.

δʹ. Ἐπὶ τὰ αὐτὰ δὴ κοίλας καλῶ τὰς τοιαύτας ἐπιφανείας, ἐν αἷς ἂν δύο σημείων λαμβανομένων αἱ μεταξὺ τῶν σημείων εὐθεῖαι ἤτοι πᾶσαι ἐπὶ τὰ αὐτὰ πίπτουσιν τῆς ἐπιφανείας, ἢ τινὲς μὲν ἐπὶ τὰ αὐτά, τινὲς δὲ κατ᾽ αὐτῆς, ἐπὶ τὰ ἕτερα δὲ μηδεμία.

εʹ. Τομέα δὲ στερεὸν καλῶ, ἐπειδὰν σφαῖραν κῶνος τέμνῃ κορυφὴν ἔχων πρὸς τῷ κέντρῳ τῆς σφαίρας, τὸ ἐμπεριεχόμενον σχῆμα ὑπό τε τῆς ἐπιφανείας τοῦ κώνου καὶ τῆς ἐπιφανείας τῆς σφαίρας ἐντὸς τοῦ κώνου.

ϛʹ. Ῥόμβον δὲ καλῶ στερεόν, ἐπειδὰν δύο κῶνοι τὴν αὐτὴν βάσιν ἔχοντες τὰς κορυφὰς ἔχωσιν ἐφ᾽ ἑκάτερα τοῦ ἐπιπέδου τῆς βάσεως, ὅπως οἱ ἄξονες αὐτῶν ἐπ᾽ εὐθείας ὦσι κείμενοι, τὸ ἐξ ἀμφοῖν τοῖν κώνοιν συγκείμενον στερεὸν σχῆμα.

Λαμβανόμενα

Λαμβάνω δὲ ταῦτα·

αʹ. Τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν ἐλαχίστην εἶναι τὴν εὐθεῖαν.

all the straight lines joining the points fall on the same side of the line, or some fall on one and the same side while others fall along the line itself, but none fall on the other side.

3. Similarly also there are certain finite surfaces, not in a plane themselves but having their extremities in a plane, and such that they will either lie wholly on the same side of the plane containing their extremities or will have no part on the other side.

4. I call *concave in the same direction* surfaces such that, if any two points on them are taken, either the straight lines between the points all fall upon the same side of the surface, or some fall on one and the same side while others fall along the surface itself, but none falls on the other side.

5. When a cone cuts a sphere, and has its vertex at the centre of the sphere, I call the figure comprehended by the surface of the cone and the surface of the sphere within the cone a *solid sector.*

6. When two cones having the same base have their vertices on opposite sides of the plane of the base in such a way that their axes lie in a straight line, I call the solid figure formed by the two cones a *solid rhombus.*

POSTULATES

I make these postulates :

1. Of all lines which have the same extremities the straight line is the least.[a]

[a] Proclus (*in Eucl.*, ed. Friedlein 110. 10-14) saw in this statement a connexion with Euclid's definition of a straight line as lying evenly with the points on itself: ὁ δ' αὖ Ἀρχιμήδης τὴν εὐθεῖαν ὡρίσατο γραμμὴν ἐλαχίστην τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν. διότι γάρ, ὡς ὁ Εὐκλείδιος λόγος φησίν, ἐξ ἴσου κεῖται τοῖς ἐφ' ἑαυτῆς σημείοις, διὰ τοῦτο ἐλαχίστη ἐστὶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν.

β'. Τῶν δὲ ἄλλων γραμμῶν, ἐὰν ἐν ἐπιπέδῳ οὖσαι τὰ αὐτὰ πέρατα ἔχωσιν, ἀνίσους εἶναι τὰς τοιαύτας, ἐπειδὰν ὦσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ ἤτοι ὅλη περιλαμβάνηται ἡ ἑτέρα αὐτῶν ὑπὸ τῆς ἑτέρας καὶ τῆς εὐθείας τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐτῇ, ἢ τινὰ μὲν περιλαμβάνηται, τινὰ δὲ κοινὰ ἔχῃ, καὶ ἐλάσσονα εἶναι τὴν περιλαμβανομένην.

γ'. Ὁμοίως δὲ καὶ τῶν ἐπιφανειῶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, ἐὰν ἐν ἐπιπέδῳ τὰ πέρατα ἔχωσιν, ἐλάσσονα εἶναι τὴν ἐπίπεδον.

δ'. Τῶν δὲ ἄλλων ἐπιφανειῶν καὶ τὰ αὐτὰ πέρατα ἐχουσῶν, ἐὰν ἐν ἐπιπέδῳ τὰ πέρατα ᾖ, ἀνίσους εἶναι τὰς τοιαύτας, ἐπειδὰν ὦσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ ἤτοι ὅλη περιλαμβάνηται ὑπὸ τῆς ἑτέρας ἡ ἑτέρα ἐπιφάνεια καὶ τῆς ἐπιπέδου τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐτῇ, ἢ τινὰ μὲν περιλαμβάνηται, τινὰ δὲ κοινὰ ἔχῃ, καὶ ἐλάσσονα εἶναι τὴν περιλαμβανομένην.

ε'. Ἔτι δὲ τῶν ἀνίσων γραμμῶν καὶ τῶν ἀνίσων ἐπιφανειῶν καὶ τῶν ἀνίσων στερεῶν τὸ μεῖζον τοῦ ἐλάσσονος ὑπερέχειν τοιούτῳ, ὃ συντιθέμενον αὐτὸ ἑαυτῷ δυνατόν ἐστιν ὑπερέχειν παντὸς τοῦ προτεθέντος τῶν πρὸς ἄλληλα λεγομένων.

Τούτων δὲ ὑποκειμένων, ἐὰν εἰς κύκλον πολύγωνον ἐγγραφῇ, φανερόν, ὅτι ἡ περίμετρος τοῦ ἐγγραφέντος πολυγώνου ἐλάσσων ἐστὶν τῆς τοῦ κύκλου περιφερείας· ἑκάστη γὰρ τῶν τοῦ πολυγώνου πλευρῶν ἐλάσσων ἐστὶ τῆς τοῦ κύκλου περιφερείας τῆς ὑπὸ τῆς αὐτῆς ἀποτεμνομένης.

[a] This famous " Axiom of Archimedes " is, in fact, generally used by him in the alternative form in which it is proved

2. Of other lines lying in a plane and having the same extremities, [any two] such are unequal when both are concave in the same direction and one is either wholly included between the other and the straight line having the same extremities with it, or is partly included by and partly common with the other ; and the included line is the lesser.

3. Similarly, of surfaces which have the same extremities, if those extremities be in a plane, the plane is the least.

4. Of other surfaces having the same extremities, if the extremities be in a plane, [any two] such are unequal when both are concave in the same direction, and one surface is either wholly included between the other and the plane having the same extremities with it, or is partly included by and partly common with the other ; and the included surface is the lesser.

5. Further, of unequal lines and unequal surfaces and unequal solids, the greater exceeds the less by such a magnitude as, when added to itself, can be made to exceed any assigned magnitude among those comparable with one another.[a]

With these premises, *if a polygon be inscribed in a circle, it is clear that the perimeter of the inscribed polygon is less than the circumference of the circle* ; for each of the sides of the polygon is less than the arc of the circle cut off by it.

in Euclid x. 1, for which *v.* vol. i. pp. 452-455. The axiom can be shown to be equivalent to Dedekind's principle, that a section of the rational points in which they are divided into two classes is made by a single point. Applied to straight lines, it is equivalent to saying that there is a complete correspondence between the aggregate of real numbers and the aggregate of points in a straight line; *v.* E. W. Hobson, *The Theory of Functions of a Real Variable*, 2nd ed., vol. i. p. 55.

α′

Ἐὰν περὶ κύκλον πολύγωνον περιγραφῇ, ἡ τοῦ περιγραφέντος πολυγώνου περίμετρος μείζων ἐστὶν τῆς περιμέτρου τοῦ κύκλου.

Περὶ γὰρ κύκλον πολύγωνον περιγεγράφθω τὸ ὑποκείμενον. λέγω, ὅτι ἡ περίμετρος τοῦ πολυγώνου μείζων ἐστὶν τῆς περιμέτρου τοῦ κύκλου.

Ἐπεὶ γὰρ συναμφότερος ἡ ΒΑΛ μείζων ἐστὶ τῆς ΒΛ περιφερείας διὰ τὸ τὰ αὐτὰ πέρατα ἔχουσαν περιλαμβάνειν τὴν περιφέρειαν, ὁμοίως δὲ καὶ συναμφότερος μὲν ἡ ΔΓ, ΓΒ τῆς ΔΒ, συναμφότερος δὲ ἡ ΛΚ, ΚΘ τῆς ΛΘ, συναμφότερος δὲ ἡ ΖΗΘ τῆς ΖΘ, ἔτι δὲ συναμφότερος ἡ ΔΕ, ΕΖ τῆς ΔΖ, ὅλη ἄρα ἡ περίμετρος τοῦ πολυγώνου μείζων ἐστὶ τῆς περιφερείας τοῦ κύκλου.

---

[a] It is here indicated, as in Prop. 3, that Archimedes added a figure to his own demonstration.

Prop. 1

If a polygon be circumscribed about a circle, the perimeter of the circumscribed polygon is greater than the circumference of the circle.

For let the polygon be circumscribed about the circle as below.[a] I say that the perimeter of the polygon is greater than the circumference of the circle.



For since $\quad BA + A\Lambda >$ arc $B\Lambda$,

owing to the fact that they have the same extremities as the arc and include it, and similarly

$$\Delta\Gamma + \Gamma B > \text{[arc] } \Delta B,$$
$$\Lambda K + K\Theta > \text{[arc] } \Lambda\Theta,$$
$$ZH + H\Theta > \text{[arc] } Z\Theta,$$

and further $\quad \Delta E + EZ > \text{[arc] } \Delta Z$,

therefore the whole perimeter of the polygon is greater than the circumference of the circle.

β′

Δύο μεγεθῶν ἀνίσων δοθέντων δυνατόν ἐστιν εὑρεῖν δύο εὐθείας ἀνίσους, ὥστε τὴν μείζονα εὐθεῖαν πρὸς τὴν ἐλάσσονα λόγον ἔχειν ἐλάσσονα ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον.

Ἔστω δύο μεγέθη ἄνισα τὰ ΑΒ, Δ, καὶ ἔστω μεῖζον τὸ ΑΒ. λέγω, ὅτι δυνατόν ἐστι δύο εὐθείας ἀνίσους εὑρεῖν τὸ εἰρημένον ἐπίταγμα ποιούσας.



Κείσθω διὰ τὸ β′ τοῦ α′ τῶν Εὐκλείδου τῷ Δ ἴσον τὸ ΒΓ, καὶ κείσθω τις εὐθεῖα γραμμὴ ἡ ΖΗ· τὸ δὴ ΓΑ ἑαυτῷ ἐπισυντιθέμενον ὑπερέξει τοῦ Δ. πεπολλαπλασιάσθω οὖν, καὶ ἔστω τὸ ΑΘ, καὶ ὁσαπλάσιόν ἐστι τὸ ΑΘ τοῦ ΑΓ, τοσαυταπλάσιος ἔστω ἡ ΖΗ τῆς ΗΕ· ἔστιν ἄρα, ὡς τὸ ΘΑ πρὸς ΑΓ, οὕτως ἡ ΖΗ πρὸς ΗΕ· καὶ ἀνάπαλίν ἐστιν, ὡς ἡ ΕΗ πρὸς ΗΖ, οὕτως τὸ ΑΓ πρὸς ΑΘ. καὶ ἐπεὶ μεῖζόν ἐστιν τὸ ΑΘ τοῦ Δ, τουτέστι τοῦ ΓΒ, τὸ ἄρα ΓΑ πρὸς τὸ ΑΘ λόγον ἐλάσσονα ἔχει ἤπερ τὸ ΓΑ πρὸς ΓΒ. ἀλλ᾿ ὡς τὸ ΓΑ πρὸς ΑΘ, οὕτως ἡ ΕΗ πρὸς ΗΖ· ἡ ΕΗ ἄρα πρὸς ΗΖ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ΓΑ πρὸς ΓΒ· καὶ συνθέντι ἡ ΕΖ [ἄρα][1] πρὸς ΖΗ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ΑΒ πρὸς ΒΓ [διὰ λῆμμα].[2] ἴσον δὲ τὸ ΒΓ τῷ Δ· ἡ ΕΖ ἄρα πρὸς ΖΗ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ΑΒ πρὸς τὸ Δ.

Prop. 2

Given two unequal magnitudes, it is possible to find two unequal straight lines such that the greater straight line has to the less a ratio less than the greater magnitude has to the less.

Let AB, Δ be two unequal magnitudes, and let AB be the greater. I say that it is possible to find two unequal straight lines satisfying the aforesaid requirement.

By the second proposition in the first book of Euclid let BΓ be placed equal to Δ, and let ZH be any straight line; then ΓA, if added to itself, will exceed Δ. [Post. 5.] Let it be multiplied, therefore, and let the result be AΘ, and as AΘ is to AΓ, so let ZH be to HE; therefore

$$\Theta A : A\Gamma = ZH : HE \qquad [cf.\ \text{Eucl. v. 15}$$

and conversely, $EH : HZ = A\Gamma : A\Theta$.

[Eucl. v. 7, coroll.

And since	$A\Theta > \Delta$	
	$> \Gamma B,$	
therefore	$\Gamma A : A\Theta < \Gamma A : \Gamma B.$	[Eucl. v. 8
But	$\Gamma A : A\Theta = EH : HZ;$	
therefore	$EH : HZ < \Gamma A : \Gamma B;$	
componendo,	$EZ : ZH < AB : B\Gamma.$[a]	
Now	$B\Gamma = \Delta;$	
therefore	$EZ : ZH < AB : \Delta.$	

[a] This and related propositions are proved by Eutocius [Archim. ed. Heiberg iii. 16. 11–18. 22] and by Pappus, *Coll.* ed. Hultsch 684. 20 ff. It may be simply proved thus. If $a : b < c : d$, it is required to prove that $a + b : b < c + d : d$. Let e be taken so that $a : b : e : d$. Then $e : d < c : d$. Therefore $e < c$, and $e + d : d < c + d : d$. But $e : d : d = a + b : b$ (*ex hypothesi, componendo*). Therefore $a + b : b < c + d : d$.

[1] ἄρα om. Heiberg. [2] διὰ λῆμμα om. Heiberg.

Εὑρημέναι εἰσὶν ἄρα δύο εὐθεῖαι ἄνισοι ποιοῦσαι τὸ εἰρημένον ἐπίταγμα [τουτέστιν τὴν μείζονα πρὸς τὴν ἐλάσσονα λόγον ἔχειν ἐλάσσονα ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον].[1]

γ′

Δύο μεγεθῶν ἀνίσων δοθέντων καὶ κύκλου δυνατόν ἐστιν εἰς τὸν κύκλον πολύγωνον ἐγγράψαι καὶ ἄλλο περιγράψαι, ὅπως ἡ τοῦ περιγραφομένου πολυγώνου πλευρὰ πρὸς τὴν τοῦ ἐγγραφομένου πολυγώνου πλευρὰν ἐλάσσονα λόγον ἔχῃ ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλαττον.

Ἔστω τὰ δοθέντα δύο μεγέθη τὰ Α, Β, ὁ δὲ δοθεὶς κύκλος ὁ ὑποκείμενος. λέγω οὖν, ὅτι δυνατόν ἐστι ποιεῖν τὸ ἐπίταγμα.

Εὑρήσθωσαν γὰρ δύο εὐθεῖαι αἱ Θ, ΚΛ, ὧν μείζων ἔστω ἡ Θ, ὥστε τὴν Θ πρὸς τὴν ΚΛ



Accordingly there have been discovered two unequal straight lines fulfilling the aforesaid requirement.

Prop. 3

Given two unequal magnitudes and a circle, it is possible to inscribe a [regular] polygon in the circle and to circumscribe another, in such a manner that the side of the circumscribed polygon has to the side of the inscribed polygon a ratio less than that which the greater magnitude has to the less.

Let A, B be the two given magnitudes, and let the



given circle be that set out below. I say then that it is possible to do what is required.

For let there be found two straight lines Θ, ΚΛ, of which Θ is the greater, such that Θ has to ΚΛ a ratio

[1] τουτέστιν . . . ἔλασσον verba subditiva esse suspicatur Heiberg.

ἐλάσσονα λόγον ἔχειν ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλαττον, καὶ ἤχθω ἀπὸ τοῦ Λ *τῇ* ΛΚ *πρὸς ὀρθὰς ἡ* ΛΜ, *καὶ ἀπὸ τοῦ* Κ *τῇ* Θ *ἴση κατήχθω ἡ* ΚΜ [*δυνατὸν γὰρ τοῦτο*],[1] *καὶ ἤχθωσαν τοῦ κύκλου δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ* ΓΕ, ΔΖ. *τέμνοντες οὖν τὴν ὑπὸ τῶν* ΔΗΓ *γωνίαν δίχα καὶ τὴν ἡμίσειαν αὐτῆς δίχα καὶ αἰεὶ τοῦτο ποιοῦντες λείψομέν τινα γωνίαν ἐλάσσονα ἢ διπλασίαν τῆς ὑπὸ* ΛΚΜ. *λελείφθω καὶ ἔστω ἡ ὑπὸ* ΝΗΓ, *καὶ ἐπεζεύχθω ἡ* ΝΓ· *ἡ ἄρα* ΝΓ *πολυγώνου ἐστὶ πλευρὰ ἰσοπλεύρου* [*ἐπείπερ ἡ ὑπὸ* ΝΗΓ *γωνία μετρεῖ τὴν ὑπὸ* ΔΗΓ *ὀρθὴν οὖσαν, καὶ ἡ* ΝΓ *ἄρα περιφέρεια μετρεῖ τὴν* ΓΔ *τέταρτον οὖσαν κύκλου· ὥστε καὶ τὸν κύκλον μετρεῖ. πολυγώνου ἄρα ἐστὶ πλευρὰ ἰσοπλεύρου· φανερὸν γάρ ἐστι τοῦτο*].[2] *καὶ τετμήσθω ἡ ὑπὸ* ΓΗΝ *γωνία δίχα τῇ* ΗΞ *εὐθείᾳ, καὶ ἀπὸ τοῦ* Ξ *ἐφαπτέσθω τοῦ κύκλου ἡ* ΟΞΠ, *καὶ ἐκβεβλήσθωσαν αἱ* ΗΝΠ, ΗΓΟ· *ὥστε καὶ ἡ* ΠΟ *πολυγώνου ἐστὶ πλευρὰ τοῦ περιγραφομένου περὶ τὸν κύκλον καὶ ἰσοπλεύρου* [*φανερόν, ὅτι καὶ ὁμοίου τῷ ἐγγραφομένῳ, οὗ πλευρὰ ἡ* ΝΓ].[3] *ἐπεὶ δὲ ἐλάσσων ἐστὶν ἢ διπλασία ἡ ὑπὸ* ΝΗΓ *τῆς ὑπὸ* ΛΚΜ, *διπλασία δὲ τῆς ὑπὸ* ΤΗΓ, *ἐλάσσων ἄρα ἡ ὑπὸ* ΤΗΓ *τῆς ὑπὸ* ΛΚΜ. *καί εἰσιν ὀρθαὶ αἱ πρὸς τοῖς* Λ, Τ· *ἡ ἄρα* ΜΚ *πρὸς* ΛΚ *μείζονα λόγον ἔχει ἤπερ ἡ* ΓΗ *πρὸς* ΗΤ. *ἴση δὲ ἡ* ΓΗ *τῇ* ΗΞ· *ὥστε ἡ* ΗΞ *πρὸς* ΗΤ *ἐλάσσονα λόγον ἔχει, τουτέστιν ἡ* ΠΟ *πρὸς* ΝΓ, *ἤπερ ἡ* ΜΚ *πρὸς* ΚΛ· *ἔτι δὲ ἡ* ΜΚ *πρὸς* ΚΛ *ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ* Α *πρὸς τὸ* Β. *καί ἐστιν ἡ μὲν* ΠΟ *πλευρὰ* less than that which the greater magnitude has to the less [Prop. 2], and from Λ let ΛM be drawn at right angles to ΛK, and from K let KM be drawn equal to Θ, and let there be drawn two diameters of the circle, ΓE, ΔZ, at right angles one to another. If we bisect the angle ΔHΓ and then bisect the half and so on continually we shall leave a certain angle less than double the angle ΛKM. Let it be left and let it be the angle NHΓ, and let NΓ be joined; then NΓ is the side of an equilateral polygon. Let the angle ΓHN be bisected by the straight line HΞ, and through Ξ let the tangent OΞΠ be drawn, and let HNΠ, HΓO be produced; then ΠO is a side of an equilateral polygon circumscribed about the circle. Since the angle NHΓ is less than double the angle ΛKM and is double the angle THΓ, therefore the angle THΓ is less than the angle ΛKM. And the angles at Λ, T are right; therefore

$$MK : \Lambda K > \Gamma H : HT.^{a}$$

But $\Gamma H = H\Xi$.

Therefore $H\Xi : HT < MK : K\Lambda$,

that is, $\Pi O : N\Gamma < MK : K\Lambda$.[b]

Further, $MK : K\Lambda < A : B$.[c]

[Therefore $\Pi O : N\Gamma < A : B$.]

[a] This is proved by Eutocius and is equivalent to the assertion that if $\alpha < \beta \leq \frac{\pi}{2}$, cosec $\beta >$ cosec α.

[b] For $H\Xi : HT = \Pi O : N\Gamma$, since $H\Xi : HT = O\Xi : \Gamma T = 2O\Xi : 2\Gamma T = \Pi O : \Gamma N$.

[c] For by hypothesis $\Theta : K\Lambda < A : B$, and $\Theta = MK$.

[1] δυνατὸν . . . τοῦτο om. Heiberg.
[2] ἐπείπερ . . . τοῦτο om. Heiberg.
[3] φανερόν . . . ἡ NΓ om. Heiberg.

τοῦ περιγραφομένου πολυγώνου, ἡ δὲ ΓΝ *τοῦ ἐγγραφομένου· ὅπερ προέκειτο εὑρεῖν.*

ε′

Κύκλου *δοθέντος καὶ δύο μεγεθῶν ἀνίσων περιγράψαι περὶ τὸν κύκλον πολύγωνον καὶ ἄλλο ἐγγράψαι, ὥστε τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχειν ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον.*

᾿Ε*κκείσθω κύκλος ὁ* Α *καὶ δύο μεγέθη ἄνισα*



τὰ Ε, Ζ *καὶ μεῖζον τὸ* Ε· *δεῖ οὖν πολύγωνον ἐγγράψαι εἰς τὸν κύκλον καὶ ἄλλο περιγράψαι, ἵνα γένηται τὸ ἐπιταχθέν.*

Λ*αμβάνω γὰρ δύο εὐθείας ἀνίσους τὰς* Γ, Δ, *ὧν μείζων ἔστω ἡ* Γ, *ὥστε τὴν* Γ *πρὸς τὴν* Δ

And ΠO is a side of the circumscribed polygon, ΓN of the inscribed; which was to be found.

Prop. 5

Given a circle and two unequal magnitudes, to circumscribe a polygon about the circle and to inscribe another, so that the circumscribed polygon has to the inscribed polygon a ratio less than the greater magnitude has to the less.

Let there be set out the circle A and the two unequal magnitudes E, Z, and let E be the greater; it is therefore required to inscribe a polygon in the circle and to circumscribe another, so that what is required may be done.

For I take two unequal straight lines Γ, Δ, of which let Γ be the greater, so that Γ has to Δ a ratio *ἐλάσσονα λόγον ἔχειν ἢ τὴν* Ε *πρὸς τὴν* Ζ· *καὶ τῶν* Γ, Δ *μέσης ἀνάλογον ληφθείσης τῆς* Η *μείζων ἄρα καὶ ἡ* Γ *τῆς* Η. *περιγεγράφθω δὴ περὶ κύκλον πολύγωνον καὶ ἄλλο ἐγγεγράφθω, ὥστε τὴν τοῦ περιγραφέντος πολυγώνου πλευρὰν πρὸς τὴν τοῦ ἐγγραφέντος ἐλάσσονα λόγον ἔχειν ἢ τὴν* Γ *πρὸς τὴν* Η [*καθὼς ἐμάθομεν*][1]· *διὰ τοῦτο δὴ καὶ ὁ διπλάσιος λόγος τοῦ διπλασίου ἐλάσσων ἐστί. καὶ τοῦ μὲν τῆς πλευρᾶς πρὸς τὴν πλευρὰν διπλάσιός ἐστι ὁ τοῦ πολυγώνου πρὸς τὸν πολύγωνον* [*ὅμοια γάρ*],[2] *τῆς δὲ* Γ *πρὸς τὴν* Η *ὁ τῆς* Γ *πρὸς τὴν* Δ· *καὶ τὸ περιγραφὲν ἄρα πολύγωνον πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ* Γ *πρὸς τὴν* Δ· *πολλῷ ἄρα τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ* Ε *πρὸς τὸ* Ζ.

η′

Ἐὰν *περὶ κῶνον ἰσοσκελῆ πυραμὶς περιγραφῇ, ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως ἴση ἐστὶν τριγώνῳ βάσιν μὲν ἔχοντι τὴν ἴσην τῇ περιμέτρῳ τῆς βάσεως, ὕψος δὲ τὴν πλευρὰν τοῦ κώνου. . . .*

θ′

Ἐὰν *κώνου τινὸς ἰσοσκελοῦς εἰς τὸν κύκλον, ὅς ἐστι βάσις τοῦ κώνου, εὐθεῖα γραμμὴ ἐμπέσῃ, ἀπὸ δὲ τῶν περάτων αὐτῆς εὐθεῖαι γραμμαὶ ἀχθῶσιν ἐπὶ τὴν κορυφὴν τοῦ κώνου, τὸ περιληφθὲν τρίγωνον ὑπό τε τῆς ἐμπεσούσης καὶ τῶν ἐπιζευχθεισῶν ἐπὶ τὴν κορυφὴν ἔλασσον ἔσται τῆς* less than that which E has to Z [Prop. 2]; if a mean proportional H be taken between Γ, Δ, then Γ will be greater than H [Eucl. vi. 13]. Let a polygon be circumscribed about the circle and another inscribed, so that the side of the circumscribed polygon has to the side of the inscribed polygon a ratio less than that which Γ has to H [Prop. 3]; it follows that the duplicate ratio is less than the duplicate ratio. Now the duplicate ratio of the sides is the ratio of the polygons [Eucl. vi. 20], and the duplicate ratio of Γ to H is the ratio of Γ to Δ [Eucl. v. Def. 9]; therefore the circumscribed polygon has to the inscribed polygon a ratio less than that which Γ has to Δ; by much more therefore the circumscribed polygon has to the inscribed polygon a ratio less than that which E has to Z.

Prop. 8

If a pyramid be circumscribed about an isosceles cone, the surface of the pyramid without the base is equal to a triangle having its base equal to the perimeter of the base [of the pyramid] and its height equal to the side of the cone. . . .[a]

Prop. 9

If in an isosceles cone a straight line [chord] fall in the circle which is the base of the cone, and from its extremities straight lines be drawn to the vertex of the cone, the triangle formed by the chord and the lines joining it to

[a] The "side of the cone" is a generator. The proof is obvious.

---

[1] καθὼς ἐμάθομεν om. Heiberg.
[2] ὅμοια γάρ om. Heiberg.

ἐπιφανείας τοῦ κώνου τῆς μεταξὺ τῶν ἐπὶ τὴν κορυφὴν ἐπιζευχθεισῶν.

Ἔστω κώνου ἰσοσκελοῦς βάσις ὁ ΑΒΓ κύκλος, κορυφὴ δὲ τὸ Δ, καὶ διήχθω τις εἰς αὐτὸν εὐθεῖα ἡ ΑΓ, καὶ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὰ Α, Γ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΓ· λέγω, ὅτι τὸ ΑΔΓ τρίγωνον



ἔλασσόν ἐστιν τῆς ἐπιφανείας τῆς κωνικῆς τῆς μεταξὺ τῶν ΑΔΓ.

Τετμήσθω ἡ ΑΒΓ περιφέρεια δίχα κατὰ τὸ Β, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΓΒ, ΔΒ· ἔσται δὴ τὰ ΑΒΔ, ΒΓΔ τρίγωνα μείζονα τοῦ ΑΔΓ τριγώνου.[1] ᾧ δὴ ὑπερέχει τὰ εἰρημένα τρίγωνα τοῦ ΑΔΓ τριγώνου, ἔστω τὸ Θ. τὸ δὴ Θ ἤτοι τῶν ΑΒ, ΒΓ τμημάτων ἔλασσόν ἐστιν ἢ οὔ.

the vertex will be less than the surface of the cone between the lines drawn to the vertex.

Let the circle ΑΒΓ be the base of an isosceles cone, let Δ be its vertex, let the straight line ΑΓ be drawn in it, and let ΑΔ, ΔΓ be drawn from the vertex to Α, Γ; I say that the triangle ΑΔΓ is less than the surface of the cone between ΑΔ, ΔΓ.

Let the arc ΑΒΓ be bisected at Β, and let ΑΒ, ΓΒ, ΔΒ be joined; then the triangles ΑΒΔ, ΒΓΔ will be greater than the triangle ΑΔΓ.[a] Let Θ be the excess by which the aforesaid triangles exceed the triangle ΑΔΓ. Now Θ is either less than the sum of the segments ΑΒ, ΒΓ or not less.

[a] For if h be the length of a generator of the isosceles cone, triangle $\mathrm{AB\Delta} = \frac{1}{2}h \,.\, \mathrm{AB}$, triangle $\mathrm{B\Gamma\Delta} = \frac{1}{2}h \,.\, \mathrm{B\Gamma}$, triangle $\mathrm{A\Delta\Gamma} = \frac{1}{2}h \,.\, \mathrm{A\Gamma}$, and $\mathrm{AB} + \mathrm{B\Gamma} > \mathrm{A\Gamma}$.

---

[1] *ἔσται . . . τριγώνου*: ex Eutocio videtur Archimedem scripsisse: *μείζονα ἄρα ἐστὶ τὰ* ΑΒΔ, ΒΔΓ *τρίγωνα τοῦ* ΑΔΓ *τριγώνου.*

Ἔστω μὴ ἔλασσον πρότερον. ἐπεὶ οὖν δύο εἰσὶν ἐπιφάνειαι ἥ τε κωνικὴ ἡ μεταξὺ τῶν ΑΔΒ *μετὰ τοῦ* ΑΕΒ *τμήματος καὶ ἡ τοῦ* ΑΔΒ *τριγώνου τὸ αὐτὸ πέρας ἔχουσαι τὴν περίμετρον τοῦ τριγώνου τοῦ* ΑΔΒ, *μείζων ἔσται ἡ περιλαμβάνουσα τῆς περιλαμβανομένης· μείζων ἄρα ἐστὶν ἡ κωνικὴ ἐπιφάνεια ἡ μεταξὺ τῶν* ΑΔΒ *μετὰ τοῦ* ΑΕΒ *τμήματος τοῦ* ΑΒΔ *τριγώνου. ὁμοίως δὲ καὶ ἡ μεταξὺ τῶν* ΒΔΓ *μετὰ τοῦ* ΓΖΒ *τμήματος μείζων ἐστὶν τοῦ* ΒΔΓ *τριγώνου· ὅλη ἄρα ἡ κωνικὴ ἐπιφάνεια μετὰ τοῦ* Θ *χωρίου μείζων ἐστὶ τῶν εἰρημένων τριγώνων. τὰ δὲ εἰρημένα τρίγωνα ἴσα ἐστὶν τῷ τε* ΑΔΓ *τριγώνῳ καὶ τῷ* Θ *χωρίῳ. κοινὸν ἀφῃρήσθω τὸ* Θ *χωρίον· λοιπὴ ἄρα ἡ κωνικὴ ἐπιφάνεια ἡ μεταξὺ τῶν* ΑΔΓ *μείζων ἐστὶν τοῦ* ΑΔΓ *τριγώνου.*

Ἔστω δὴ τὸ Θ *ἔλασσον τῶν* ΑΒ, ΒΓ *τμημάτων. τέμνοντες δὴ τὰς* ΑΒ, ΒΓ *περιφερείας δίχα καὶ τὰς ἡμισείας αὐτῶν δίχα λείψομεν τμήματα ἐλάσσονα ὄντα τοῦ* Θ *χωρίου. λελείφθω τὰ ἐπὶ τῶν* ΑΕ, ΕΒ, ΒΖ, ΖΓ *εὐθειῶν, καὶ ἐπεζεύχθωσαν αἱ* ΔΕ, ΔΖ. *πάλιν τοίνυν κατὰ τὰ αὐτὰ ἡ μὲν ἐπιφάνεια τοῦ κώνου ἡ μεταξὺ τῶν* ΑΔΕ *μετὰ τοῦ ἐπὶ τῆς* ΑΕ *τμήματος μείζων ἐστὶν τοῦ* ΑΔΕ *τριγώνου, ἡ δὲ μεταξὺ τῶν* ΕΔΒ *μετὰ τοῦ ἐπὶ τῆς* ΕΒ *τμήματος μείζων ἐστὶν τοῦ* ΕΔΒ *τριγώνου· ἡ ἄρα ἐπιφάνεια ἡ μεταξὺ τῶν* ΑΔΒ *μετὰ τῶν ἐπὶ τῶν* ΑΕ, ΕΒ *τμημάτων μείζων ἐστὶν τῶν* ΑΔΕ, ΕΒΔ *τριγώνων. ἐπεὶ δὲ τὰ* ΑΕΔ, ΔΕΒ *τρίγωνα μείζονά ἐστιν τοῦ* ΑΒΔ *τριγώνου, καθὼς δέδεικται, πολλῷ ἄρα ἡ ἐπιφάνεια τοῦ κώνου ἡ μεταξὺ τῶν* ΑΔΒ *μετὰ τῶν ἐπὶ τῶν* ΑΕ, Firstly, let it be not less. Then since there are two surfaces, the surface of the cone between ΑΔ, ΔΒ together with the segment ΑΕΒ and the triangle ΑΔΒ, having the same extremity, that is, the perimeter of the triangle ΑΔΒ, the surface which includes the other is greater than the included surface [Post. 3]; therefore the surface of the cone between the straight lines ΑΔ, ΔΒ together with the segment ΑΕΒ is greater than the triangle ΑΒΔ. Similarly the [surface of the cone] between ΒΔ, ΔΓ together with the segment ΓΖΒ is greater than the triangle ΒΔΓ; therefore the whole surface of the cone together with the area Θ is greater than the aforesaid triangles. Now the aforesaid triangles are equal to the triangle ΑΔΓ and the area Θ. Let the common area Θ be taken away; therefore the remainder, the surface of the cone between ΑΔ, ΔΓ is greater than the triangle ΑΔΓ.

Now let Θ be less than the segments ΑΒ, ΒΓ. Bisecting the arcs ΑΒ, ΒΓ and then bisecting their halves, we shall leave segments less than the area Θ [Eucl. xii. 2]. Let the segments so left be those on the straight lines ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, and let ΔΕ, ΔΖ be joined. Then once more by the same reasoning the surface of the cone between ΑΔ, ΔΕ together with the segment ΑΕ is greater than the triangle ΑΔΕ, while that between ΕΔ, ΔΒ together with the segment ΕΒ is greater than the triangle ΕΔΒ; therefore the surface between ΑΔ, ΔΒ together with the segments ΑΕ, ΕΒ is greater than the triangles ΑΔΕ, ΕΒΔ. Now since the triangles ΑΕΔ, ΔΕΒ are greater than the triangle ΑΒΔ, as was proved, by much more therefore the surface of the cone between ΑΔ, ΔΒ together with the segments ΑΕ, ΕΒ is

EB τμημάτων μείζων ἐστὶ τοῦ ΑΔΒ τριγώνου. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΒΔΓ μετὰ τῶν ἐπὶ τῶν ΒΖ, ΖΓ τμημάτων μείζων ἐστὶν τοῦ ΒΔΓ τριγώνου· ὅλη ἄρα ἡ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΓ μετὰ τῶν εἰρημένων τμημάτων μείζων ἐστὶ τῶν ΑΒΔ, ΔΒΓ τριγώνων. ταῦτα δέ ἐστιν ἴσα τῷ ΑΔΓ τριγώνῳ καὶ τῷ Θ χωρίῳ· ὧν τὰ εἰρημένα τμήματα ἐλάσσονα τοῦ Θ χωρίου· λοιπὴ ἄρα ἡ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΓ μείζων ἐστὶν τοῦ ΑΔΓ τριγώνου.

ι′

Ἐὰν ἐπιψαύουσαι ἀχθῶσιν τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ κώνου, ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι τῷ κύκλῳ καὶ συμπίπτουσαι ἀλλήλαις, ἀπὸ δὲ τῶν ἁφῶν καὶ τῆς συμπτώσεως ἐπὶ τὴν κορυφὴν τοῦ κώνου εὐθεῖαι ἀχθῶσιν, τὰ περιεχόμενα τρίγωνα ὑπὸ τῶν ἐπιψαυουσῶν καὶ τῶν ἐπὶ τὴν κορυφὴν τοῦ κώνου ἐπιζευχθεισῶν εὐθειῶν μείζονά ἐστιν τῆς τοῦ κώνου ἐπιφανείας τῆς ἀπολαμβανομένης ὑπ' αὐτῶν. . . .

ιβ′

. . . Τούτων δὴ δεδειγμένων φανερὸν [ἐπὶ μὲν τῶν προειρημένων],[1] ὅτι, ἐὰν εἰς κῶνον ἰσοσκελῆ πυραμὶς ἐγγραφῇ, ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως ἐλάσσων ἐστὶ τῆς κωνικῆς ἐπιφανείας [ἕκαστον γὰρ τῶν περιεχόντων τὴν πυραμίδα τριγώνων ἔλασσόν ἐστιν τῆς κωνικῆς ἐπιφανείας τῆς μεταξὺ τῶν τοῦ τριγώνου πλευρῶν· ὥστε καὶ ὅλη ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς greater than the triangle AΔB. By the same reasoning the surface between BΔ, ΔΓ together with the segments BZ, ZΓ is greater than the triangle BΔΓ; therefore the whole surface between AΔ, ΔΓ together with the aforesaid segments is greater than the triangles ABΔ, ΔBΓ. Now these are equal to the triangle AΔΓ and the area Θ; and the aforesaid segments are less than the area Θ; therefore the remainder, the surface between AΔ, ΔΓ is greater than the triangle AΔΓ.

Prop. 10

If tangents be drawn to the circle which is the base of an [isosceles] cone, being in the same plane as the circle and meeting one another, and from the points of contact and the point of meeting straight lines be drawn to the vertex of the cone, the triangles formed by the tangents and the lines drawn to the vertex of the cone are together greater than the portion of the surface of the cone included by them. . . .[a]

Prop. 12

. . . From what has been proved it is clear that, if a pyramid is inscribed in an isosceles cone, the surface of the pyramid without the base is less than the surface of the cone [Prop. 9], and that, if a pyramid

[a] The proof is on lines similar to the preceding proposition.

[1] ἐπὶ . . . προειρημένων om. Heiberg.

βάσεως ἐλάσσων ἐστὶ τῆς ἐπιφανείας τοῦ κώνου χωρὶς τῆς βάσεως],[1] *καὶ ὅτι, ἐὰν περὶ κῶνον ἰσοσκελῆ πυραμὶς περιγραφῇ, ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως μείζων ἐστὶν τῆς ἐπιφανείας τοῦ κώνου χωρὶς τῆς βάσεως [κατὰ τὸ συνεχὲς ἐκείνῳ].*[2]

Φανερὸν δὲ ἐκ τῶν ἀποδεδειγμένων, ὅτι τε, ἐὰν εἰς κύλινδρον ὀρθὸν πρίσμα ἐγγραφῇ, ἡ ἐπιφάνεια τοῦ πρίσματος ἡ ἐκ τῶν παραλληλογράμμων συγκειμένη ἐλάσσων ἐστὶ τῆς ἐπιφανείας τοῦ κυλίνδρου χωρὶς τῆς βάσεως [ἔλασσον γὰρ ἕκαστον παραλληλόγραμμον τοῦ πρίσματός ἐστι τῆς καθ' αὑτὸ τοῦ κυλίνδρου ἐπιφανείας],[3] *καὶ ὅτι, ἐὰν περὶ κύλινδρον ὀρθὸν πρίσμα περιγραφῇ, ἡ ἐπιφάνεια τοῦ πρίσματος ἡ ἐκ τῶν παραλληλογράμμων συγκειμένη μείζων ἐστὶ τῆς ἐπιφανείας τοῦ κυλίνδρου χωρὶς τῆς βάσεως.*

ιγ'

Παντὸς κυλίνδρου ὀρθοῦ ἡ ἐπιφάνεια χωρὶς τῆς βάσεως ἴση ἐστὶ κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρου μέσον λόγον ἔχει τῆς πλευρᾶς τοῦ κυλίνδρου καὶ τῆς διαμέτρου τῆς βάσεως τοῦ κυλίνδρου.

Ἔστω κυλίνδρου τινὸς ὀρθοῦ βάσις ὁ Α *κύκλος, καὶ ἔστω τῇ μὲν διαμέτρῳ τοῦ* Α *κύκλου ἴση ἡ* ΓΔ, *τῇ δὲ πλευρᾷ τοῦ κυλίνδρου ἡ* ΕΖ, *ἐχέτω δὲ μέσον λόγον τῶν* ΔΓ, ΕΖ *ἡ* Η, *καὶ κείσθω κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ* Η, *ὁ* Β· *δεικτέον, ὅτι ὁ* Β *κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ κυλίνδρου χωρὶς τῆς βάσεως.*

Εἰ γὰρ μή ἐστιν ἴσος, ἤτοι μείζων ἐστὶ ἢ is circumscribed about an isosceles cone, the surface of the pyramid without the base is greater than the surface of the cone without the base [Prop. 10].

From what has been demonstrated it is also clear that, if a right prism be inscribed in a cylinder, the surface of the prism composed of the parallelograms is less than the surface of the cylinder excluding the bases [a] [Prop. 11], and if a right prism be circumscribed about a cylinder, the surface of the prism composed of the parallelograms is greater than the surface of the cylinder excluding the bases.

Prop. 13

The surface of any right cylinder excluding the bases [b] *is equal to a circle whose radius is a mean proportional between the side of the cylinder and the diameter of the base of the cylinder.*

Let the circle A be the base of a right cylinder, let ΓΔ be equal to the diameter of the circle A, let EZ be equal to the side of the cylinder, let H be a mean proportional between ΔΓ, EZ, and let there be set out a circle, B, whose radius is equal to H ; it is required to prove that the circle B is equal to the surface of the cylinder excluding the bases.[b]

For if it is not equal, it is either greater or less.

[a] Here, and in other places in this and the next proposition, Archimedes must have written *χωρὶς τῶν βάσεων*, not *χωρὶς τῆς βάσεως*.

[b] See preceding note.

---

[1] *ἕκαστον . . . βάσεως*. Heiberg suspects that this demonstration is interpolated. Why give a proof of what is *φανερόν?*

[2] *κατὰ . . . ἐκείνῳ* om. Heiberg.

[3] *ἔλασσον . . . ἐπιφανείας*. Heiberg suspects that this proof is interpolated.

ἐλάσσων. ἔστω πρότερον, εἰ δυνατόν, ἐλάσσων. δύο δὴ μεγεθῶν ὄντων ἀνίσων τῆς τε ἐπιφανείας τοῦ κυλίνδρου καὶ τοῦ Β *κύκλου δυνατόν ἐστιν εἰς τὸν* Β *κύκλον ἰσόπλευρον πολύγωνον ἐγγράψαι καὶ ἄλλο περιγράψαι, ὥστε τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ἡ ἐπιφάνεια τοῦ κυλίνδρου πρὸς τὸν* Β *κύκλον. νοείσθω δὴ περιγεγραμμένον καὶ ἐγγεγραμμένον, καὶ περὶ τὸν* Α *κύκλον περιγεγράφθω εὐθύγραμμον ὅμοιον τῷ περὶ τὸν* Β *περιγεγραμμένῳ, καὶ ἀναγεγράφθω ἀπὸ τοῦ εὐθυγράμμου πρίσμα· ἔσται δὴ περὶ τὸν κύλινδρον περιγεγραμμένον. ἔστω δὲ καὶ τῇ περιμέτρῳ τοῦ εὐθυγράμμου τοῦ περὶ*

[a] One ms. has the marginal note, "equalis altitudinis chylindro," on which Heiberg comments: "nec hoc omiserat Archimedes." Heiberg notes several places in which the text is clearly not that written by Archimedes.

Let it first be, if possible, less. Now there are two unequal magnitudes, the surface of the cylinder and the circle B, and it is possible to inscribe in the circle B an equilateral polygon, and to circumscribe another, so that the circumscribed has to the inscribed a ratio



less than that which the surface of the cylinder has to the circle B [Prop. 5]. Let the circumscribed and inscribed polygons be imagined, and about the circle A let there be circumscribed a rectilineal figure similar to that circumscribed about B, and on the rectilineal figure let a prism be erected [a]; it will be circumscribed about the cylinder. Let KΔ be equal τὸν Α κύκλον ἴση ἡ ΚΔ καὶ τῇ ΚΔ ἴση ἡ ΛΖ, τῆς δὲ ΓΔ ἡμίσεια ἔστω ἡ ΓΤ· ἔσται δὴ τὸ ΚΔΤ τρίγωνον ἴσον τῷ περιγεγραμμένῳ εὐθυγράμμῳ περὶ τὸν Α κύκλον [ἐπειδὴ βάσιν μὲν ἔχει τῇ περιμέτρῳ ἴσην, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τοῦ Α κύκλου],[1] τὸ δὲ ΕΛ παραλληλόγραμμον τῇ ἐπιφανείᾳ τοῦ πρίσματος τοῦ περὶ τὸν κύλινδρον περιγεγραμμένου [ἐπειδὴ περιέχεται ὑπὸ τῆς πλευρᾶς τοῦ κυλίνδρου καὶ τῆς ἴσης τῇ περιμέτρῳ τῆς βάσεως τοῦ πρίσματος].[2] κείσθω δὴ τῇ ΕΖ ἴση ἡ ΕΡ· ἴσον ἄρα ἐστὶν τὸ ΖΡΛ τρίγωνον τῷ ΕΛ παραλληλογράμμῳ, ὥστε καὶ τῇ ἐπιφανείᾳ τοῦ πρίσματος. καὶ ἐπεὶ ὅμοιά ἐστιν τὰ εὐθύγραμμα τὰ περὶ τοὺς Α, Β κύκλους περιγεγραμμένα, τὸν αὐτὸν ἕξει λόγον [τὰ εὐθύγραμμα],[3] ὅνπερ αἱ ἐκ τῶν κέντρων δυνάμει· ἕξει ἄρα τὸ ΚΤΔ τρίγωνον πρὸς τὸ περὶ τὸν Β κύκλον εὐθύγραμμον λόγον, ὃν ἡ ΤΔ πρὸς Η δυνάμει [αἱ γὰρ ΤΔ, Η ἴσαι εἰσὶν ταῖς ἐκ τῶν κέντρων]. ἀλλ' ὃν ἔχει λόγον ἡ ΤΔ πρὸς Η δυνάμει, τοῦτον ἔχει τὸν λόγον ἡ ΤΔ πρὸς ΡΖ μήκει [ἡ γὰρ Η τῶν ΤΔ, ΡΖ μέση ἐστὶ ἀνάλογον διὰ τὸ καὶ τῶν ΓΔ, ΕΖ· πῶς δὲ τοῦτο; ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ μὲν ΔΤ τῇ ΤΓ, ἡ δὲ ΡΕ τῇ ΕΖ, διπλασία ἄρα ἐστὶν ἡ ΓΔ τῆς ΤΔ, καὶ ἡ ΡΖ τῆς ΡΕ· ἔστιν ἄρα, ὡς ἡ ΔΓ πρὸς ΔΤ, οὕτως ἡ ΡΖ πρὸς ΖΕ. τὸ ἄρα ὑπὸ τῶν ΓΔ, ΕΖ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν ΤΔ, ΡΖ. τῷ δὲ ὑπὸ τῶν ΓΔ, ΕΖ ἴσον ἐστὶν τὸ ἀπὸ Η· καὶ τῷ ὑπὸ τῶν ΤΔ, ΡΖ ἄρα ἴσον ἐστὶ τὸ ἀπὸ τῆς Η. ἔστιν ἄρα,

[1] ἐπειδὴ . . . κύκλου om. Heiberg.
[2] ἐπειδὴ . . . πρίσματος om. Heiberg.
[3] τὰ εὐθύγραμμα om. Torellius.

to the perimeter of the rectilineal figure about the circle A, let ΛZ be equal to KΔ, and let ΓT be half of ΓΔ ; then the triangle KΔT will be equal to the rectilineal figure circumscribed about the circle A,[a] while the parallelogram EΛ will be equal to the surface of the prism circumscribed about the cylinder.[b] Let EP be set out equal to EZ ; then the triangle ZPΛ is equal to the parallelogram EΛ [Eucl. i. 41], and so to the surface of the prism. And since the rectilineal figures circumscribed about the circles A, B are similar, they will stand in the same ratio as the squares on the radii [c] ; therefore the triangle KTΔ will have to the rectilineal figure circumscribed about the circle B the ratio $T\Delta^2 : H^2$.

But $$T\Delta^2 : H^2 = T\Delta : PZ.$$ [d]

[a] Because the base KΔ is equal to the perimeter of the polygon, and the altitude ΔT is equal to the radius of the circle A, *i.e.*, to the perpendiculars drawn from the centre of A to the sides of the polygon.

[b] Because the base ΛZ is made equal to ΔK and so is equal to the perimeter of the polygon forming the base of the prism, while the altitude EZ is equal to the side of the cylinder and therefore to the height of the prism.

[c] Eutocius supplies a proof based on Eucl. xii. 1, which proves a similar theorem for inscribed figures.

[d] For, by hypothesis,
$$\begin{aligned} H^2 &= \Delta\Gamma \,.\, EZ \\ &= 2T\Delta \,.\, \tfrac{1}{2}PZ \\ &= T\Delta \,.\, PZ \end{aligned}$$

Heiberg would delete the demonstration in the text on the ground of excessive verbosity, as Nizze had already perceived to be necessary.

ὡς ἡ ΤΔ πρὸς Η, οὕτως ἡ Η πρὸς ΡΖ· ἔστιν ἄρα, ὡς ἡ ΤΔ πρὸς ΡΖ, τὸ ἀπὸ τῆς ΤΔ πρὸς τὸ ἀπὸ τῆς Η· ἐὰν γὰρ τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, ἔστιν, ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευτέρας εἶδος τὸ ὅμοιον καὶ ὁμοίως ἀναγεγραμμένον][1]*. ὃν δὲ λόγον ἔχει ἡ ΤΔ πρὸς ΡΖ μήκει, τοῦτον ἔχει τὸ ΚΤΔ τρίγωνον πρὸς τὸ ΡΛΖ [ἐπειδήπερ ἴσαι εἰσὶν αἱ ΚΔ, ΛΖ]*[2]*· τὸν αὐτὸν ἄρα λόγον ἔχει τὸ ΚΤΔ τρίγωνον πρὸς τὸ εὐθύγραμμον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον, ὅνπερ τὸ ΤΚΔ τρίγωνον πρὸς τὸ ΡΖΛ τρίγωνον. ἴσον ἄρα ἐστὶν τὸ ΖΛΡ τρίγωνον τῷ περὶ τὸν Β κύκλον περιγεγραμμένῳ εὐθυγράμμῳ· ὥστε καὶ ἡ ἐπιφάνεια τοῦ πρίσματος τοῦ περὶ τὸν Α κύλινδρον περιγεγραμμένου τῷ εὐθυγράμμῳ τῷ περὶ τὸν Β κύκλον ἴση ἐστίν. καὶ ἐπεὶ ἐλάσσονα λόγον ἔχει τὸ εὐθύγραμμον τὸ περὶ τὸν Β κύκλον πρὸς τὸ ἐγγεγραμμένον ἐν τῷ κύκλῳ τοῦ, ὃν ἔχει ἡ ἐπιφάνεια τοῦ Α κυλίνδρου πρὸς τὸν Β κύκλον, ἐλάσσονα λόγον ἕξει καὶ ἡ ἐπιφάνεια τοῦ πρίσματος τοῦ περὶ τὸν κύλινδρον περιγεγραμμένου πρὸς τὸ εὐθύγραμμον τὸ ἐν τῷ κύκλῳ τῷ Β ἐγγεγραμμένον ἤπερ ἡ ἐπιφάνεια τοῦ κυλίνδρου πρὸς τὸν Β κύκλον· καὶ ἐναλλάξ· ὅπερ ἀδύνατον [ἡ μὲν γὰρ ἐπιφάνεια τοῦ πρίσματος τοῦ περιγεγραμμένου περὶ τὸν κύλινδρον μείζων οὖσα δέδεικται τῆς ἐπιφανείας τοῦ κυλίνδρου, τὸ δὲ ἐγγεγραμμένον εὐθύγραμμον ἐν τῷ Β κύκλῳ ἔλασσόν ἐστιν τοῦ Β κύκλου]*[3]*. οὐκ ἄρα ἐστὶν ὁ Β κύκλος ἐλάσσων τῆς ἐπιφανείας τοῦ κυλίνδρου.*

[1] *ἡ γὰρ . . . ὁμοίως ἀναγεγραμμένον* om. Heiberg.
[2] *ἐπειδήπερ* . . . ΚΔ, ΛΖ om. Heiberg.

And $T\Delta : PZ =$ triangle $KT\Delta$: triangle $P\Lambda Z$.[a]

Therefore the ratio which the triangle KTΔ has to the rectilineal figure circumscribed about the circle B is the same as the ratio of the triangle TKΔ to the triangle PZΛ. Therefore the triangle TKΔ is equal to the rectilineal figure circumscribed about the circle B [Eucl. v. 9]; and so the surface of the prism circumscribed about the cylinder A is equal to the rectilineal figure about B. And since the rectilineal figure about the circle B has to the inscribed figure in the circle a ratio less than that which the surface of the cylinder A has to the circle B [*ex hypothesi*], the surface of the prism circumscribed about the cylinder will have to the rectilineal figure inscribed in the circle B a ratio less than that which the surface of the cylinder has to the circle B; and, *permutando*, [the prism will have to the cylinder a ratio less than that which the rectilineal figure inscribed in the circle B has to the circle B][b]; which is absurd.[c] Therefore the circle B is not less than the surface of the cylinder.

[a] By Eucl. vi. 1, since $\Lambda Z = K\Delta$.

[b] From Eutocius's comment it appears that Archimedes wrote, in place of *καὶ ἐναλλάξ· ὅπερ ἀδύνατον* in our text: *ἐναλλὰξ ἄρα ἐλάσσονα λόγον ἔχει τὸ πρίσμα πρὸς τὸν κύλινδρον ἤπερ τὸ ἐγγεγραμμένον εἰς τὸν* B *κύκλον πολύγωνον πρὸς τὸν* B *κύκλον· ὅπερ ἄτοπον.* This is what I translate.

[c] For the surface of the prism is greater than the surface of the cylinder [Prop. 12], but the inscribed figure is less than the circle B; the explanation in our text to this effect is shown to be an interpolation by the fact that Eutocius supplies a proof in his own words.

---

[1] *ἡ μὲν . . . τοῦ* B *κύκλου* om. Heiberg ex Eutocio.

Ἔστω δή, εἰ δυνατόν, μείζων. πάλιν δὴ νοείσθω εἰς τὸν Β κύκλον εὐθύγραμμον ἐγγεγραμμένον καὶ ἄλλο περιγεγραμμένον, ὥστε τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχειν ἢ τὸν Β κύκλον πρὸς τὴν ἐπιφάνειαν τοῦ κυλίνδρου, καὶ ἐγγεγράφθω εἰς τὸν Α κύκλον πολύγωνον ὅμοιον τῷ εἰς τὸν Β κύκλον ἐγγεγραμμένῳ, καὶ πρίσμα ἀναγεγράφθω ἀπὸ τοῦ ἐν τῷ κύκλῳ ἐγγεγραμμένου πολυγώνου· καὶ πάλιν ἡ ΚΔ ἴση ἔστω τῇ περιμέτρῳ τοῦ εὐθυγράμμου τοῦ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένου, καὶ ἡ ΖΛ ἴση αὐτῇ ἔστω. ἔσται δὴ τὸ μὲν ΚΤΔ τρίγωνον μεῖζον τοῦ εὐθυγράμμου τοῦ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένου [διότι βάσιν μὲν ἔχει τὴν περίμετρον αὐτοῦ, ὕψος δὲ μεῖζον τῆς ἀπὸ τοῦ κέντρου ἐπὶ μίαν πλευρὰν τοῦ πολυγώνου ἀγομένης καθέτου],[1] τὸ δὲ ΕΛ παραλληλόγραμμον ἴσον τῇ ἐπιφανείᾳ τοῦ πρίσματος τῇ ἐκ τῶν παραλληλογράμμων συγκειμένῃ [διότι περιέχεται ὑπὸ τῆς πλευρᾶς τοῦ κυλίνδρου καὶ τῆς ἴσης τῇ περιμέτρῳ τοῦ εὐθυγράμμου, ὅ ἐστιν βάσις τοῦ πρίσματος]· ὥστε καὶ τὸ ΡΛΖ τρίγωνον ἴσον ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ πρίσματος. καὶ ἐπεὶ ὅμοιά ἐστι τὰ εὐθύγραμμα τὰ ἐν τοῖς Α, Β κύκλοις ἐγγεγραμμένα, τὸν αὐτὸν ἔχει λόγον πρὸς ἄλληλα, ὃν αἱ ἐκ τῶν κέντρων αὐτῶν δυνάμει. ἔχει δὲ καὶ τὰ ΚΤΔ, ΖΡΛ τρίγωνα πρὸς ἄλληλα λόγον, ὃν αἱ ἐκ τῶν κέντρων τῶν κύκλων δυνάμει· τὸν αὐτὸν ἄρα λόγον ἔχει

[1] διότι . . . καθέτου om. Heiberg.

[a] For the base ΚΔ is equal to the perimeter of the polygon and the altitude ΔΤ, which is equal to the radius of the

Now let it be, if possible, greater. Again, let there be imagined a rectilineal figure inscribed in the circle B, and another circumscribed, so that the circumscribed figure has to the inscribed a ratio less than that which the circle B has to the surface of the cylinder [Prop. 5], and let there be inscribed in the circle A a polygon similar to the figure inscribed in the circle B, and let a prism be erected on the polygon inscribed in the circle [A]; and again let KΔ be equal to the perimeter of the rectilineal figure inscribed in the circle A, and let ZΛ be equal to it. Then the triangle KTΔ will be greater than the rectilineal figure inscribed in the circle A,[a] and the parallelogram EΛ will be equal to the surface of the prism composed of the parallelograms[b]; and so the triangle PΛZ is equal to the surface of the prism. And since the rectilineal figures inscribed in the circles A, B are similar, they have the same ratio one to the other as the squares of their radii [Eucl. xii. 1]. But the triangles KTΔ, ZPΛ have one to the other the same ratio as the squares of the radii[c]; therefore the rectilineal figure inscribed in

circle A, is greater than the perpendiculars drawn from the centre of the circle to the sides of the polygon; but Heiberg regards the explanation to this effect in the text as an interpolation.

[b] Because the base ZΛ is made equal to KΔ, and so is equal to the perimeter of the polygon forming the base of the prism, while the altitude EZ is equal to the side of the cylinder and therefore to the height of the prism.

[c] For triangle KTΔ : triangle ZPΛ = TΔ : ZP

$$= T\Delta^2 : H^2$$

[*cf.* p. 71 n. *d.*

But TΔ is equal to the radius of the circle A, and H to the radius of the circle B.

τὸ εὐθύγραμμον τὸ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένον πρὸς τὸ εὐθύγραμμον τὸ ἐν τῷ Β ἐγγεγραμμένον καὶ τὸ ΚΤΔ τρίγωνον πρὸς τὸ ΛΖΡ τρίγωνον. ἔλασσον δέ ἐστι τὸ εὐθύγραμμον τὸ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένον τοῦ ΚΤΔ τριγώνου· ἔλασσον ἄρα καὶ τὸ εὐθύγραμμον τὸ ἐν τῷ Β κύκλῳ ἐγγεγραμμένον τοῦ ΖΡΛ τριγώνου· ὥστε καὶ τῆς ἐπιφανείας τοῦ πρίσματος τοῦ ἐν τῷ κυλίνδρῳ ἐγγεγραμμένου· ὅπερ ἀδύνατον [ἐπεὶ γὰρ ἐλάσσονα λόγον ἔχει τὸ περιγεγραμμένον εὐθύγραμμον περὶ τὸν Β κύκλον πρὸς τὸ ἐγγεγραμμένον ἢ ὁ Β κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κυλίνδρου, καὶ ἐναλλάξ, μεῖζον δέ ἐστι τὸ περιγεγραμμένον περὶ τὸν Β κύκλον τοῦ Β κύκλου, μεῖζον ἄρα ἐστὶν τὸ ἐγγεγραμμένον ἐν τῷ Β κύκλῳ τῆς ἐπιφανείας τοῦ κυλίνδρου· ὥστε καὶ τῆς ἐπιφανείας τοῦ πρίσματος].[1] οὐκ ἄρα μείζων ἐστὶν ὁ Β κύκλος τῆς ἐπιφανείας τοῦ κυλίνδρου. ἐδείχθη δέ, ὅτι οὐδὲ ἐλάσσων· ἴσος ἄρα ἐστίν.

ιδ′

Παντὸς κώνου ἰσοσκελοῦς χωρὶς τῆς βάσεως ἡ ἐπιφάνεια ἴση ἐστὶ κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρου μέσον λόγον ἔχει τῆς πλευρᾶς τοῦ κώνου καὶ τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου, ὅς ἐστιν βάσις τοῦ κώνου.

Ἔστω κῶνος ἰσοσκελής, οὗ βάσις ὁ Α κύκλος, ἡ δὲ ἐκ τοῦ κέντρου ἔστω ἡ Γ, τῇ δὲ πλευρᾷ τοῦ

[1] *ἐπεὶ . . . πρίσματος* om. Heiberg.

[a] For since the figure circumscribed about the circle B has to the inscribed figure a ratio less than that which the circle B has to the surface of the cylinder [*ex hypothesi*], and the circle B is less than the circumscribed figure, therefore the

the circle A has to the rectilineal figure inscribed in the circle B the same ratio as the triangle KTΔ has to the triangle ΛZP. But the rectilineal figure inscribed in the circle A is less than the triangle KTΔ; therefore the rectilineal figure inscribed in the circle B is less than the triangle ZPΛ; and so it is less than the surface of the prism inscribed in the cylinder; which is impossible.[a] Therefore the circle B is not greater than the surface of the cylinder. But it was proved not to be less. Therefore it is equal.

Prop. 14

The surface of any cone without the base is equal to a circle, whose radius is a mean proportional between the side of the cone and the radius of the circle which is the base of the cone.

Let there be an isosceles cone, whose base is the circle A, and let its radius be Γ, and let Δ be equal

inscribed figure is greater than the surface of the cylinder, and *a fortiori* is greater than the surface of the prism [Prop. 12]. An explanation on these lines is found in our text, but as the corresponding proof in the first half of the proposition was unknown to Eutocius, this also must be presumed an interpolation.

κώνου ἔστω ἴση ἡ Δ, τῶν δὲ Γ, Δ μέση ἀνάλογον ἡ Ε, ὁ δὲ Β κύκλος ἐχέτω τὴν ἐκ τοῦ κέντρου τῇ Ε ἴσην· λέγω, ὅτι ὁ Β κύκλος ἐστὶν ἴσος τῇ ἐπιφανείᾳ τοῦ κώνου χωρὶς τῆς βάσεως.

Εἰ γὰρ μή ἐστιν ἴσος, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων. ἔστω πρότερον ἐλάσσων. ἔστι δὴ δύο μεγέθη ἄνισα ἥ τε ἐπιφάνεια τοῦ κώνου καὶ ὁ Β κύκλος, καὶ μείζων ἡ ἐπιφάνεια τοῦ κώνου· δυνατὸν ἄρα εἰς τὸν Β κύκλον πολύγωνον ἰσόπλευρον ἐγγράψαι καὶ ἄλλο περιγράψαι ὅμοιον τῷ ἐγγεγραμμένῳ, ὥστε τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν Β κύκλον. νοείσθω δὴ καὶ περὶ τὸν Α κύκλον πολύγωνον περιγεγραμμένον ὅμοιον τῷ περὶ τὸν Β κύκλον περιγεγραμμένῳ, καὶ ἀπὸ τοῦ περὶ τὸν Α κύκλον περιγεγραμμένου πολυγώνου πυραμὶς ἀνεστάτω ἀναγεγραμμένη τὴν αὐτὴν κορυφὴν ἔχουσα τῷ κώνῳ. ἐπεὶ οὖν ὅμοιά ἐστιν τὰ πολύγωνα τὰ περὶ to the side of the cone, and let E be a mean proportional between Γ, Δ, and let the circle B have its



radius equal to E ; I say that the circle B is equal to the surface of the cone without the base.

For if it is not equal, it is either greater or less. First let it be less. Then there are two unequal magnitudes, the surface of the cone and the circle B, and the surface of the cone is the greater ; it is therefore possible to inscribe an equilateral polygon in the circle B and to circumscribe another similar to the inscribed polygon, so that the circumscribed polygon has to the inscribed polygon a ratio less than that which the surface of the cone has to the circle B [Prop. 5]. Let this be imagined, and about the circle A let a polygon be circumscribed similar to the polygon circumscribed about the circle B, and on the polygon circumscribed about the circle A let a pyramid be raised having the same vertex as the cone. Now since the polygons circumscribed about *τοὺς Α, Β κύκλους περιγεγραμμένα, τὸν αὐτὸν ἔχει λόγον πρὸς ἄλληλα, ὃν αἱ ἐκ τοῦ κέντρου δυνάμει πρὸς ἀλλήλας, τουτέστιν ὃν ἔχει ἡ Γ πρὸς Ε δύναμει, τουτέστιν ἡ Γ πρὸς Δ μήκει. ὃν δὲ λόγον ἔχει ἡ Γ πρὸς Δ μήκει, τοῦτον ἔχει τὸ περιγεγραμμένον πολύγωνον περὶ τὸν Α κύκλον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς περιγεγραμμένης περὶ τὸν κῶνον [ἡ μὲν γὰρ Γ ἴση ἐστὶ τῇ ἀπὸ τοῦ κέντρου καθέτῳ ἐπὶ μίαν πλευρὰν τοῦ πολυγώνου, ἡ δὲ Δ τῇ πλευρᾷ τοῦ κώνου· κοινὸν δὲ ὕψος ἡ περίμετρος τοῦ πολυγώνου πρὸς τὰ ἡμίση τῶν ἐπιφανειῶν][1]· τὸν αὐτὸν ἄρα λόγον ἔχει τὸ εὐθύγραμμον τὸ περὶ τὸν Α κύκλον πρὸς τὸ εὐθύγραμμον τὸ περὶ τὸν Β κύκλον καὶ αὐτὸ τὸ εὐθύγραμμον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς περιγεγραμμένης περὶ τὸν κῶνον· ὥστε ἴση ἐστὶν ἡ ἐπιφάνεια τῆς πυραμίδος τῷ εὐθυγράμμῳ τῷ περὶ τὸν Β κύκλον περιγεγραμμένῳ. ἐπεὶ οὖν ἐλάσσονα λόγον ἔχει τὸ εὐθύγραμμον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἤπερ ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν Β κύκλον, ἐλάσσονα λόγον ἕξει ἡ ἐπιφάνεια τῆς πυραμίδος τῆς περὶ τὸν κῶνον περιγεγραμμένης πρὸς τὸ εὐθύγραμμον τὸ ἐν τῷ Β κύκλῳ ἐγγεγραμμένον ἤπερ ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν Β κύκλον· ὅπερ ἀδύνατον [ἡ μὲν γὰρ ἐπιφάνεια τῆς πυραμίδος μείζων οὖσα δέδεικται τῆς ἐπιφανείας τοῦ κώνου, τὸ δὲ ἐγγεγραμμένον εὐθύγραμμον ἐν τῷ Β κύκλῳ ἔλασσον ἔσται τοῦ Β κύκλου].[2] οὐκ ἄρα ὁ Β κύκλος ἐλάσσων ἔσται τῆς ἐπιφανείας τοῦ κώνου.*

the circles A, B are similar, they have the same ratio one toward the other as the square of the radii have one toward the other, that is $\Gamma^2 : E^2$, or $\Gamma : \Delta$ [Eucl. vi. 20, coroll. 2]. But $\Gamma : \Delta$ is the same ratio as that of the polygon circumscribed about the circle A to the surface of the pyramid circumscribed about the cone [a]; therefore the rectilineal figure about the circle A has to the rectilineal figure about the circle B the same ratio as this rectilineal figure [about A] has to the surface of the pyramid circumscribed about the cone; therefore the surface of the pyramid is equal to the rectilineal figure circumscribed about the circle B. Since the rectilineal figure circumscribed about the circle B has towards the inscribed [rectilineal figure] a ratio less than that which the surface of the cone has to the circle B, therefore the surface of the pyramid circumscribed about the cone will have to the rectilineal figure inscribed in the circle B a ratio less than that which the surface of the cone has to the circle B; which is impossible.[b] Therefore the circle B will not be less than the surface of the cone.

[a] For the circumscribed polygon is equal to a triangle, whose base is equal to the perimeter of the polygon and whose height is equal to Γ, while the surface of the pyramid is equal to a triangle having the same base and height Δ [Prop. 8]. There is an explanation to this effect in the Greek, but so obscurely worded that Heiberg attributes it to an interpolator.

[b] For the surface of the pyramid is greater than the surface of the cone [Prop. 12], while the inscribed polygon is less than the circle B.

---

[1] ἡ μὲν . . . ἐπιφανειῶν om. Heiberg.
[2] ἡ μὲν . . . τοῦ B κύκλου om. Heiberg.

Λέγω δή, ὅτι οὐδὲ μείζων. εἰ γὰρ δυνατόν ἐστιν, ἔστω μείζων. πάλιν δὴ νοείσθω εἰς τὸν Β κύκλον πολύγωνον ἐγγεγραμμένον καὶ ἄλλο περιγεγραμμένον, ὥστε τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ὁ Β *κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κώνου, καὶ εἰς τὸν* Α *κύκλον νοείσθω ἐγγεγραμμένον πολύγωνον ὅμοιον τῷ εἰς τὸν* Β *κύκλον ἐγγεγραμμένῳ, καὶ ἀναγεγράφθω ἀπ' αὐτοῦ πυραμὶς τὴν αὐτὴν κορυφὴν ἔχουσα τῷ κώνῳ. ἐπεὶ οὖν ὅμοιά ἐστι τὰ ἐν τοῖς* Α, Β *κύκλοις ἐγγεγραμμένα, τὸν αὐτὸν ἕξει λόγον πρὸς ἄλληλα, ὃν αἱ ἐκ τῶν κέντρων δυνάμει πρὸς ἀλλήλας· τὸν αὐτὸν ἄρα λόγον ἔχει τὸ πολύγωνον πρὸς τὸ πολύγωνον καὶ ἡ* Γ *πρὸς τὴν* Δ *μήκει. ἡ δὲ* Γ *πρὸς τὴν* Δ *μείζονα λόγον ἔχει ἢ τὸ πολύγωνον τὸ ἐν τῷ* Α *κύκλῳ ἐγγεγραμμένον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς ἐγγεγραμμένης εἰς τὸν κῶνον [ἡ γὰρ ἐκ τοῦ κέντρου τοῦ* Α *κύκλου πρὸς τὴν πλευρὰν τοῦ κώνου μείζονα λόγον ἔχει ἤπερ ἡ ἀπὸ τοῦ κέντρου ἀγομένη κάθετος ἐπὶ μίαν πλευρὰν τοῦ πολυγώνου πρὸς τὴν ἐπὶ τὴν πλευρὰν τοῦ πολυγώνου κάθετον ἀγομένην ἀπὸ τῆς κορυφῆς τοῦ κώνου]*[1]*· μεί-*

[1] *ἡ γὰρ . . . τοῦ κώνου* om. Heiberg.

[a] Eutocius supplies a proof. ZΘK is the polygon inscribed in the circle A (of centre A), AH is drawn perpendicular to

I say now that neither will it be greater. For if it is possible, let it be greater. Then again let there be imagined a polygon inscribed in the circle B and another circumscribed, so that the circumscribed has to the inscribed a ratio less than that which the circle B has to the surface of the cone [Prop. 5], and in the circle A let there be imagined an inscribed polygon similar to that inscribed in the circle B, and on it let there be drawn a pyramid having the same vertex as the cone. Since the polygons inscribed in the circles A, B are similar, therefore they will have one toward the other the same ratio as the squares of the radii have one toward the other; therefore the one polygon has to the other polygon the same ratio as Γ to Δ [Eucl. vi. 20, coroll. 2]. But Γ has to Δ a ratio greater than that which the polygon inscribed in the circle A has to the surface of the pyramid inscribed in the cone [a]; therefore the polygon in-

KΘ and meets the circle in M, Λ is the vertex of the isosceles cone (so that ΛH is perpendicular to KΘ), and HN is drawn parallel to MΛ to meet AΛ in N. Then the area of the polygon inscribed in the circle $= \frac{1}{2}$ perimeter of polygon . AH, and the area of the pyramid inscribed in the cone $= \frac{1}{2}$ perimeter of polygon . ΛH, so that the area of the polygon has to the area of the pyramid the ratio AH : ΛH. Now, by similar triangles, AM : MΛ = AH : HN, and AH : HN > AH : HΛ, for HΛ > HN. Therefore AM : MΛ > AH : HΛ; that is, Γ : Δ exceeds the ratio of the polygon to the surface of the pyramid.



ζονα ἄρα λόγον ἔχει τὸ πολύγωνον τὸ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένον πρὸς τὸ πολύγωνον τὸ ἐν τῷ Β ἐγγεγραμμένον ἢ αὐτὸ τὸ πολύγωνον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος· μείζων ἄρα ἐστὶν ἡ ἐπιφάνεια τῆς πυραμίδος τοῦ ἐν τῷ Β πολυγώνου ἐγγεγραμμένου. ἐλάσσονα δὲ λόγον ἔχει τὸ πολύγωνον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἢ ὁ Β κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κώνου· πολλῷ ἄρα τὸ πολύγωνον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς ἐν τῷ κώνῳ ἐγγεγραμμένης ἐλάσσονα λόγον ἔχει ἢ ὁ Β κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κώνου· ὅπερ ἀδύνατον [τὸ μὲν γὰρ περιγεγραμμένον πολύγωνον μεῖζόν ἐστιν τοῦ Β κύκλου, ἡ δὲ ἐπιφάνεια τῆς πυραμίδος τῆς ἐν τῷ κώνῳ ἐλάσσων ἐστὶ τῆς ἐπιφανείας τοῦ κώνου].[1] οὐκ ἄρα οὐδὲ μείζων ἐστὶν ὁ κύκλος τῆς ἐπιφανείας τοῦ κώνου. ἐδείχθη δέ, ὅτι οὐδὲ ἐλάσσων· ἴσος ἄρα.

ιϛʹ

Ἐὰν κῶνος ἰσοσκελὴς ἐπιπέδῳ τμηθῇ παραλλήλῳ τῇ βάσει, τῇ μεταξὺ τῶν παραλλήλων ἐπιπέδων ἐπιφανείᾳ τοῦ κώνου ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου μέσον λόγον ἔχει τῆς τε πλευρᾶς τοῦ κώνου τῆς μεταξὺ τῶν παραλλήλων ἐπιπέδων καὶ τῆς ἴσης ἀμφοτέραις ταῖς ἐκ τῶν κέντρων τῶν κύκλων τῶν ἐν τοῖς παραλλήλοις ἐπιπέδοις.

Ἔστω κῶνος, οὗ τὸ διὰ τοῦ ἄξονος τρίγωνον ἴσον τῷ ΑΒΓ, καὶ τετμήσθω παραλλήλῳ ἐπιπέδῳ τῇ βάσει, καὶ ποιείτω τομὴν τὴν ΔΕ, ἄξων δὲ τοῦ κώνου ἔστω ὁ ΒΗ κύκλος δέ τις ἐκκείσθω, οὗ ἡ scribed in the circle A has to the polygon inscribed in the circle B a ratio greater than that which the same polygon [inscribed in the circle A] has to the surface of the pyramid ; therefore the surface of the pyramid is greater than the polygon inscribed in B. Now the polygon circumscribed about the circle B has to the inscribed polygon a ratio less than that which the circle B has to the surface of the cone ; by much more therefore the polygon circumscribed about the circle B has to the surface of the pyramid inscribed in the cone a ratio less than that which the circle B has to the surface of the cone ; which is impossible.[a] Therefore the circle is not greater than the surface of the cone. And it was proved not to be less ; therefore it is equal.

Prop. 16

If an isosceles cone be cut by a plane parallel to the base, the portion of the surface of the cone between the parallel planes is equal to a circle whose radius is a mean proportional between the portion of the side of the cone between the parallel planes and a straight line equal to the sum of the radii of the circles in the parallel planes.

Let there be a cone, in which the triangle through the axis is equal to ABΓ, and let it be cut by a plane parallel to the base, and let [the cutting plane] make the section ΔE, and let BH be the axis of the cone,

[a] For the circumscribed polygon is greater than the circle B, but the surface of the inscribed pyramid is less than the surface of the cone [Prop. 12] ; the explanation to this effect in the text is attributed by Heiberg to an interpolator.

---

[1] τὸ μὲν . . . τοῦ κώνου om. Heiberg.

ἐκ τοῦ κέντρου μέση ἀνάλογόν ἐστι τῆς τε ΑΔ *καὶ συναμφοτέρου τῆς* ΔΖ, ΗΑ, *ἔστω δὲ κύκλος ὁ* Θ·





λέγω, ὅτι ὁ Θ *κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ κώνου τῇ μεταξὺ τῶν* ΔΕ, ΑΓ.

Ἐκκείσθωσαν γὰρ κύκλοι οἱ Λ, Κ, *καὶ τοῦ μὲν* Κ *κύκλου ἡ ἐκ τοῦ κέντρου δυνάσθω τὸ ὑπὸ* ΒΔΖ, *τοῦ δὲ* Λ *ἡ ἐκ τοῦ κέντρου δυνάσθω τὸ ὑπὸ* ΒΑΗ· *ὁ μὲν ἄρα* Λ *κύκλος ἴσος ἐστὶν τῇ ἐπιφανείᾳ τοῦ* ΑΒΓ *κώνου, ὁ δὲ* Κ *κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ* ΔΕΒ. *καὶ ἐπεὶ τὸ ὑπὸ τῶν* ΒΑ, ΑΗ *ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν* ΒΔ, ΔΖ *καὶ τῷ ὑπὸ τῆς* ΑΔ *καὶ συναμφοτέρου τῆς* ΔΖ, ΑΗ *διὰ τὸ παράλληλον εἶναι τὴν* ΔΖ *τῇ* ΑΗ, *ἀλλὰ τὸ μὲν ὑπὸ* ΑΒ, ΑΗ *δύναται ἡ ἐκ τοῦ κέντρου τοῦ* Λ *κύκλου, τὸ δὲ ὑπὸ* ΒΔ, ΔΖ *δύναται ἡ ἐκ τοῦ κέντρου τοῦ* Κ *κύκλου, τὸ δὲ ὑπὸ τῆς* ΔΑ *καὶ συναμφοτέρου τῆς* ΔΖ, ΑΗ *δύναται ἡ ἐκ τοῦ κέντρου τοῦ* Θ, *τὸ ἄρα ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ* Λ *κύκλου ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ἐκ τῶν κέντρων τῶν* Κ, Θ *κύκλων· ὥστε καὶ ὁ* Λ *κύκλος ἴσος ἐστὶ τοῖς* Κ, Θ *κύκλοις.*

and let there be set out a circle whose radius is a mean proportional between ΑΔ and the sum of ΔΖ, ΗΑ, and let Θ be the circle ; I say that the circle Θ is equal to the portion of the surface of the cone between ΔΕ, ΑΓ.

For let the circles Λ, Κ be set out, and let the square of the radius of Κ be equal to the rectangle contained by ΒΔ, ΔΖ, and let the square of the radius of Λ be equal to the rectangle contained by ΒΑ, ΑΗ ; therefore the circle Λ is equal to the surface of the cone ΑΒΓ, while the circle Κ is equal to the surface of the cone ΔΕΒ [Prop. 14]. And since

$$\mathrm{BA} \,.\, \mathrm{AH} = \mathrm{B\Delta} \,.\, \Delta\mathrm{Z} + \mathrm{A\Delta} \,.\, (\Delta\mathrm{Z} + \mathrm{AH})$$

because ΔΖ is parallel to ΑΗ,[a] while the square of the radius of Λ is equal to ΑΒ . ΑΗ, the square of the radius of Κ is equal to ΒΔ . ΔΖ, and the square of the radius of Θ is equal to ΔΑ . (ΔΖ + ΑΗ), therefore the square on the radius of the circle Λ is equal to the sum of the squares on the radii of the circles Κ, Θ; so that the circle Λ is equal to the sum of the circles

[a] The proof is given by Eutocius as follows :

	$\mathrm{BA} : \mathrm{AH} = \mathrm{B\Delta} : \Delta\mathrm{Z}$	
∴	$\mathrm{BA} \,.\, \Delta\mathrm{Z} = \mathrm{B\Delta} \,.\, \mathrm{AH}.$	[Eucl. vi. 16
But	$\mathrm{BA} \,.\, \Delta\mathrm{Z} = \mathrm{B\Delta} \,.\, \Delta\mathrm{Z} + \mathrm{A\Delta} \,.\, \Delta\mathrm{Z}.$	[Eucl. ii. 1
∴	$\mathrm{B\Delta} \,.\, \mathrm{AH} = \mathrm{B\Delta} \,.\, \Delta\mathrm{Z} + \mathrm{A\Delta} \,.\, \Delta\mathrm{Z}.$	
Let	ΔΑ . ΑΗ be added to both sides.	
Then	$\mathrm{B\Delta} \,.\, \mathrm{AH} + \Delta\mathrm{A} + \mathrm{AH},$	
i.e.	$\mathrm{BA} \,.\, \mathrm{AH} = \mathrm{B\Delta} \,.\, \Delta\mathrm{Z} + \mathrm{A\Delta} \,.\, \Delta\mathrm{Z} + \mathrm{A\Delta} \,.\, \mathrm{AH}.$	

ἀλλ' ὁ μὲν Λ ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ ΒΑΓ κώνου, ὁ δὲ Κ τῇ ἐπιφανείᾳ τοῦ ΔΒΕ κώνου· λοιπὴ ἄρα ἡ ἐπιφάνεια τοῦ κώνου ἡ μεταξὺ τῶν παραλλήλων ἐπιπέδων τῶν ΔΕ, ΑΓ ἴση ἐστὶ τῷ Θ κύκλῳ.

κα´

Ἐὰν εἰς κύκλον πολύγωνον ἐγγραφῇ ἀρτιοπλευρόν τε καὶ ἰσόπλευρον, καὶ διαχθῶσιν εὐθεῖαι ἐπιζευγνύουσαι τὰς πλευρὰς τοῦ πολυγώνου, ὥστε αὐτὰς παραλλήλους εἶναι μιᾷ ὁποιαοῦν τῶν ὑπὸ δύο πλευρὰς τοῦ πολυγώνου ὑποτεινουσῶν, αἱ ἐπιζευγνύουσαι πᾶσαι πρὸς τὴν τοῦ κύκλου διάμετρον τοῦτον ἔχουσι τὸν λόγον, ὃν ἔχει ἡ ὑποτείνουσα τὰς μιᾷ ἐλάσσονας τῶν ἡμίσεων πρὸς τὴν πλευρὰν τοῦ πολυγώνου.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν αὐτῷ πολύγωνον ἐγγεγράφθω τὸ ΑΕΖΒΗΘΓΜΝΔΛΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΚ, ΖΛ, ΒΔ, ΗΝ, ΘΜ· δῆλον δή, ὅτι παράλληλοί εἰσιν τῇ ὑπὸ δύο πλευρὰς τοῦ πολυγώνου ὑποτεινούσῃ· λέγω οὖν, ὅτι αἱ εἰρημέναι πᾶσαι πρὸς τὴν τοῦ κύκλου διάμετρον τὴν ΑΓ τὸν αὐτὸν λόγον ἔχουσι τῷ τῆς ΓΕ πρὸς ΕΑ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΖΚ, ΛΒ, ΗΔ, ΘΝ· παράλληλος ἄρα ἡ μὲν ΖΚ τῇ ΕΑ, ἡ δὲ ΒΛ τῇ ΖΚ, καὶ ἔτι ἡ μὲν ΔΗ τῇ ΒΛ, ἡ δὲ ΘΝ τῇ ΔΗ, καὶ ἡ ΓΜ τῇ ΘΝ [καὶ ἐπεὶ δύο παράλληλοί εἰσιν αἱ ΕΑ, ΚΖ, καὶ δύο διηγμέναι εἰσὶν αἱ ΕΚ, ΑΟ][1]· ἔστιν ἄρα, ὡς ἡ ΕΞ πρὸς ΞΑ, ὁ ΚΞ πρὸς ΞΟ. ὡς δ' ἡ ΚΞ πρὸς ΞΟ, ἡ ΖΠ πρὸς ΠΟ, ὡς δὲ

[1] καὶ ἐπεὶ . . . ΕΚ, ΑΟ om. Heiberg.

K, Θ. But Λ is equal to the surface of the cone ΒΑΓ, while K is equal to the surface of the cone ΔΒΕ; therefore the remainder, the portion of the surface of the cone between the parallel planes ΔΕ, ΑΓ, is equal to the circle Θ.

Prop. 21

If a regular polygon with an even number of sides be inscribed in a circle, and straight lines be drawn joining the angles [a] of the polygon, in such a manner as to be parallel to any one whatsoever of the lines subtended by two sides of the polygon, the sum of these connecting lines bears to the diameter of the circle the same ratio as the straight line subtended by half the sides less one bears to the side of the polygon.

Let ΑΒΓΔ be a circle, and in it let the polygon ΑΕΖΒΗΘΓΜΝΔΛΚ be inscribed, and let ΕΚ, ΖΛ, ΒΔ, ΗΝ, ΘΜ be joined; then it is clear that they are parallel to a straight line subtended by two sides of the polygon [b]; I say therefore that the sum of the aforementioned straight lines bears to ΑΓ, the diameter of the circle, the same ratio as ΓΕ bears to ΕΑ.

For let ΖΚ, ΛΒ, ΗΔ, ΘΝ be joined; then ΖΚ is parallel to ΕΑ, ΒΛ to ΖΚ, also ΔΗ to ΒΛ, ΘΝ to ΔΗ and ΓΜ to ΘΝ [c]; therefore

$$\mathrm{E\Xi : \Xi A = K\Xi : \Xi O}.$$

But $\mathrm{K\Xi : \Xi O = Z\Pi : \Pi O}$, [Eucl. vi. 4

[a] "Sides" according to the text, but Heiberg thinks Archimedes probably wrote γωνίας where we have πλευράς.

[b] For, because the arcs ΚΛ, ΕΖ are equal, $\angle \mathrm{EKZ} = \angle \mathrm{KZ\Lambda}$ [Eucl. iii. 27]; therefore ΕΚ is parallel to ΛΖ; and so on.

[c] For, as the arcs ΑΚ, ΕΖ are equal, $\angle \mathrm{AEK} = \angle \mathrm{EKZ}$, and therefore ΑΕ is parallel to ΖΚ; and so on.

ἡ ΖΠ πρὸς ΠΟ, ἡ ΛΠ πρὸς ΠΡ, ὡς δὲ ἡ ΛΠ πρὸς ΠΡ, οὕτως ἡ ΒΣ πρὸς ΣΡ, καὶ ἔτι, ὡς ἡ μὲν ΒΣ πρὸς ΣΡ, ἡ ΔΣ πρὸς ΣΤ, ὡς δὲ ἡ ΔΣ πρὸς ΣΤ, ἡ ΗΥ πρὸς ΥΤ, καὶ ἔτι, ὡς ἡ μὲν ΗΥ



πρὸς ΥΤ, ἡ ΝΥ πρὸς ΥΦ, ὡς δὲ ἡ ΝΥ πρὸς ΥΦ, ἡ ΘΧ πρὸς ΧΦ, καὶ ἔτι, ὡς μὲν ἡ ΘΧ πρὸς ΧΦ, ἡ ΜΧ πρὸς ΧΓ [καὶ πάντα ἄρα πρὸς πάντα ἐστίν, ὡς εἷς τῶν λόγων πρὸς ἕνα][1]· ὡς ἄρα ἡ ΕΞ πρὸς ΞΑ, οὕτως αἱ ΕΚ, ΖΛ, ΒΔ, ΗΝ, ΘΜ πρὸς τὴν ΑΓ διάμετρον. ὡς δὲ ἡ ΕΞ πρὸς ΞΑ, οὕτως ἡ ΓΕ πρὸς ΕΑ· ἔσται ἄρα καί, ὡς ἡ ΓΕ πρὸς ΕΑ, οὕτω πᾶσαι αἱ ΕΚ, ΖΛ, ΒΔ, ΗΝ, ΘΜ πρὸς τὴν ΑΓ διάμετρον.

[1] καὶ . . . ἕνα om. Heiberg.

while	$Z\Pi : \Pi O = \Lambda\Pi : \Pi P$,	[*ibid.*
and	$\Lambda\Pi : \Pi P = B\Sigma : \Sigma P$.	[*ibid.*
Again,	$B\Sigma : \Sigma P = \Delta\Sigma : \Sigma T$,	[*ibid.*
while	$\Delta\Sigma : \Sigma T = H\Upsilon : \Upsilon T$.	[*ibid.*
Again,	$H\Upsilon : \Upsilon T = N\Upsilon : \Upsilon\Phi$,	[*ibid.*
while	$N\Upsilon : \Upsilon\Phi = \Theta X : X\Phi$.	[*ibid.*
Again,	$\Theta X : X\Phi = MX : X\Gamma$,	[*ibid.*
therefore	$E\Xi : \Xi A = EK + Z\Lambda + B\Delta + HN + \Theta M : A\Gamma$.[a]	[Eucl. v. 12
But	$E\Xi : \Xi A = \Gamma E : EA$;	[Eucl. vi. 4
therefore	$\Gamma E : EA = EK + Z\Lambda + B\Delta + HN + \Theta M : A\Gamma$.[b]	

[a] By adding all the antecedents and consequents, for

$$E\Xi : \Xi A = E\Xi + K\Xi + Z\Pi + \Lambda\Pi + B\Sigma + \Delta\Sigma + H\Upsilon + N\Upsilon + \Theta X + MX : \Xi A + \Xi O + \Pi O + \Pi P + \Sigma P + \Sigma T + \Upsilon T + \Upsilon\Phi + X\Phi + X\Gamma$$
$$= EK + Z\Lambda + B\Delta + HN + \Theta M : A\Gamma.$$

[b] If the polygon has $4n$ sides, then

$$\angle E\Gamma K = \frac{\pi}{2n} \quad \text{and} \quad EK : A\Gamma = \sin\frac{\pi}{2n},$$

$$\angle Z\Gamma\Lambda = \frac{2\pi}{2n} \quad \text{and} \quad Z\Lambda : A\Gamma = \sin\frac{2\pi}{2n},$$

$$\angle \Theta\Gamma M = (2n-1)\frac{\pi}{2n} \quad \text{and} \quad \Theta M : A\Gamma = \sin(2n-1)\frac{\pi}{2n}.$$

. . .

Further, $\angle A\Gamma E = \frac{\pi}{4n}$ and $\Gamma E : EA = \cot\frac{\pi}{4n}$.

Therefore the proposition shows that

$$\sin\frac{\pi}{2n} + \sin\frac{2\pi}{2n} + \ldots + \sin(2n-1)\frac{\pi}{2n} = \cot\frac{\pi}{4n}.$$

κγ΄

Ἔστω ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓΔ, καὶ ἐγγεγράφθω εἰς αὐτὸν πολύγωνον ἰσόπλευρον, τὸ



δὲ πλῆθος τῶν πλευρῶν αὐτοῦ μετρείσθω ὑπὸ τετράδος, αἱ δὲ ΑΓ, ΔΒ διάμετροι ἔστωσαν. ἐὰν δὴ μενούσης τῆς ΑΓ διαμέτρου περιενεχθῇ ὁ ΑΒΓΔ κύκλος ἔχων τὸ πολύγωνον, δῆλον, ὅτι ἡ μὲν περιφέρεια αὐτοῦ κατὰ τῆς ἐπιφανείας τῆς σφαίρας ἐνεχθήσεται, αἱ δὲ τοῦ πολυγώνου γωνίαι χωρὶς τῶν πρὸς τοῖς Α, Γ σημείοις κατὰ κύκλων περιφερειῶν ἐνεχθήσονται ἐν τῇ ἐπιφανείᾳ τῆς σφαίρας γεγραμμένων ὀρθῶν πρὸς τὸν ΑΒΓΔ κύκλον· διάμετροι δὲ αὐτῶν ἔσονται αἱ ἐπιζευγνύουσαι τὰς γωνίας τοῦ πολυγώνου παρὰ τὴν ΒΔ οὖσαι. αἱ δὲ τοῦ πολυγώνου πλευραὶ κατά τινων κώνων ἐνεχθήσονται, αἱ μὲν ΑΖ, ΑΝ κατ᾽ ἐπιφανείας κώνου, οὗ βάσις μὲν ὁ κύκλος ὁ περὶ διάμετρον τὴν ΖΝ, κορυφὴ δὲ τὸ Α σημεῖον, αἱ δὲ

Prop. 23

Let ΑΒΓΔ be the greatest circle in a sphere, and let there be inscribed in it an equilateral polygon, the number of whose sides is divisible by four, and let ΑΓ, ΔΒ be diameters. If the diameter ΑΓ remain stationary and the circle ΑΒΓΔ containing the polygon be rotated, it is clear that the circumference of the circle will traverse the surface of the sphere, while the angles of the polygon, except those at the points Α, Γ, will traverse the circumferences of circles described on the surface of the sphere at right angles to the circle ΑΒΓΔ; their diameters will be the [straight lines] joining the angles of the polygon, being parallel to ΒΔ. Now the sides of the polygon will traverse certain cones; ΑΖ, ΑΝ will traverse the surface of a cone whose base is the circle about the diameter ΖΝ and whose vertex is the point Α; ΖΗ, ΖΗ, ΜΝ *κατά τινος κωνικῆς ἐπιφανείας οἰσθήσονται, ἧς βάσις μὲν ὁ κύκλος ὁ περὶ διάμετρον τὴν* ΜΗ, *κορυφὴ δὲ τὸ σημεῖον, καθ' ὃ συμβάλλουσιν ἐκβαλλόμεναι αἱ* ΖΗ, ΜΝ *ἀλλήλαις τε καὶ τῇ* ΑΓ, *αἱ δὲ* ΒΗ, ΜΔ *πλευραὶ κατὰ κωνικῆς ἐπιφανείας οἰσθήσονται, ἧς βάσις μέν ἐστιν ὁ κύκλος ὁ περὶ διάμετρον τὴν* ΒΔ *ὀρθὸς πρὸς τὸν* ΑΒΓΔ *κύκλον, κορυφὴ δὲ τὸ σημεῖον, καθ' ὃ συμβάλλουσιν ἐκβαλλόμεναι αἱ* ΒΗ, ΔΜ *ἀλλήλαις τε καὶ τῇ* ΓΑ· *ὁμοίως δὲ καὶ αἱ ἐν τῷ ἑτέρῳ ἡμικυκλίῳ πλευραὶ κατὰ κωνικῶν ἐπιφανειῶν οἰσθήσονται πάλιν ὁμοίων ταύταις. ἔσται δή τι σχῆμα ἐγγεγραμμένον ἐν τῇ σφαίρᾳ ὑπὸ κωνικῶν ἐπιφανειῶν περιεχόμενον τῶν προειρημένων, οὗ ἡ ἐπιφάνεια ἐλάσσων ἔσται τῆς ἐπιφανείας τῆς σφαίρας.*

Διαιρεθείσης γὰρ τῆς σφαίρας ὑπὸ τοῦ ἐπιπέδου τοῦ κατὰ τὴν ΒΔ *ὀρθοῦ πρὸς τὸν* ΑΒΓΔ *κύκλον ἡ ἐπιφάνεια τοῦ ἑτέρου ἡμισφαιρίου καὶ ἡ ἐπιφάνεια τοῦ σχήματος τοῦ ἐν αὐτῷ ἐγγεγραμμένου τὰ αὐτὰ πέρατα ἔχουσιν ἐν ἑνὶ ἐπιπέδῳ· ἀμφοτέρων γὰρ τῶν ἐπιφανειῶν πέρας ἐστὶν τοῦ κύκλου ἡ περιφέρεια τοῦ περὶ διάμετρον τὴν* ΒΔ *ὀρθοῦ πρὸς τὸν* ΑΒΓΔ *κύκλον· καί εἰσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ περιλαμβάνεται αὐτῶν ἡ ἑτέρα ὑπὸ τῆς ἑτέρας ἐπιφανείας καὶ τῆς ἐπιπέδου τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐτῇ. ὁμοίως δὲ καὶ τοῦ ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ σχήματος ἡ ἐπιφάνεια ἐλάσσων ἐστὶν τῆς τοῦ ἡμισφαιρίου ἐπιφανείας· καὶ ὅλη οὖν ἡ ἐπιφάνεια τοῦ σχήματος τοῦ ἐν τῇ σφαίρᾳ ἐλάσσων ἐστὶν τῆς ἐπιφανείας τῆς σφαίρας.*

---

[a] Archimedes would not have omitted to make the deduc-

MN will traverse the surface of a certain cone whose base is the circle about the diameter MH and whose vertex is the point in which ZH, MN produced meet one another and with ΑΓ; the sides BH, MΔ will traverse the surface of a cone whose base is the circle about the diameter BΔ at right angles to the circle ΑΒΓΔ and whose vertex is the point in which BH, ΔM produced meet one another and with ΓΑ; in the same way the sides in the other semicircle will traverse surfaces of cones similar to these. As a result there will be inscribed in the sphere and bounded by the aforesaid surfaces of cones a figure whose surface will be less than the surface of the sphere.

For, if the sphere be cut by the plane through BΔ at right angles to the circle ΑΒΓΔ, the surface of one of the hemispheres and the surface of the figure inscribed in it have the same extremities in one plane; for the extremity of both surfaces is the circumference of the circle about the diameter BΔ at right angles to the circle ΑΒΓΔ; and both are concave in the same direction, and one of them is included by the other surface and the plane having the same extremities with it.[a] Similarly the surface of the figure inscribed in the other hemisphere is less than the surface of the hemisphere; and therefore the whole surface of the figure in the sphere is less than the surface of the sphere.

tion, from Postulate 4, that the surface of the figure inscribed in the hemisphere is less than the surface of the hemisphere.

κδʹ

Ἡ τοῦ ἐγγραφομένου σχήματος εἰς τὴν σφαῖραν ἐπιφάνεια ἴση ἐστὶ κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρου δύναται τὸ περιεχόμενον ὑπό τε τῆς πλευρᾶς τοῦ σχήματος καὶ τῆς ἴσης πάσαις ταῖς ἐπιζευγνυούσαις τὰς πλευρὰς τοῦ πολυγώνου παραλλήλοις οὔσαις τῇ ὑπὸ δύο πλευρὰς τοῦ πολυγώνου ὑποτεινούσῃ εὐθείᾳ.

Ἔστω ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν αὐτῷ πολύγωνον ἐγγεγράφθω ἰσόπλευρον, οὗ αἱ πλευραὶ ὑπὸ τετράδος μετροῦνται, καὶ ἀπὸ τοῦ πολυγώνου τοῦ ἐγγεγραμμένου νοείσθω τι εἰς τὴν σφαῖραν ἐγγραφὲν σχῆμα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ παράλληλοι οὖσαι τῇ ὑπὸ δύο πλευρὰς ὑποτεινούσῃ εὐθείᾳ, κύκλος δέ τις ἐκκείσθω ὁ Ξ, οὗ ἡ ἐκ τοῦ κέντρου δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΑΕ καὶ τῆς ἴσης ταῖς ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ· λέγω, ὅτι ὁ κύκλος οὗτος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ εἰς τὴν σφαῖραν ἐγγραφομένου σχήματος.

Ἐκκείσθωσαν γὰρ κύκλοι οἱ Ο, Π, Ρ, Σ, Τ, Υ, καὶ τοῦ μὲν Ο ἡ ἐκ τοῦ κέντρου δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΕΑ καὶ τῆς ἡμισείας τῆς ΕΖ, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ Π δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΕΑ καὶ τῆς ἡμισείας τῶν ΕΖ, ΗΘ, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ Ρ δυνάσθω τὸ περιεχόμενον ὑπὸ τῆς ΕΑ καὶ τῆς ἡμισείας τῶν ΗΘ, ΓΔ, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ Σ δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΕΑ καὶ τῆς ἡμισείας τῶν ΓΔ, ΚΛ, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ Τ δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΑΕ καὶ τῆς ἡμισείας

Prop. 24

The surface of the figure inscribed in the sphere is equal to a circle, the square of whose radius is equal to the rectangle contained by the side of the figure and a straight line equal to the sum of the straight lines joining the angles of the polygon, being parallel to the straight line subtended by two sides of the polygon.

Let ΑΒΓΔ be the greatest circle in a sphere, and in it let there be inscribed an equilateral polygon, the number of whose sides is divisible by four, and, starting from the inscribed polygon, let there be imagined a figure inscribed in the sphere, and let ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ be joined, being parallel to the straight line subtended by two sides; now let there be set out a circle Ξ, the square of whose radius is equal to the rectangle contained by ΑΕ and a straight line equal to the sum of ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ; I say that this circle is equal to the surface of the figure inscribed in the sphere.

For let the circles Ο, Π, Ρ, Σ, Τ, Υ be set out, and let the square of the radius of Ο be equal to the rectangle contained by ΕΑ and the half of ΕΖ, let the square of the radius of Π be equal to the rectangle contained by ΕΑ and the half of ΕΖ + ΗΘ, let the square of the radius of Ρ be equal to the rectangle contained by ΕΑ and the half of ΗΘ + ΓΔ, let the square of the radius of Σ be equal to the rectangle contained by ΕΑ and the half of ΓΔ + ΚΛ, let the square of the radius of Τ be equal to the rectangle τῶν ΚΛ, ΜΝ, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ Υ δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΑΕ καὶ τῆς ἡμισείας τῆς ΜΝ. διὰ δὴ ταῦτα ὁ μὲν Ο κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ ΑΕΖ κώνου, ὁ δὲ Π τῇ ἐπιφανείᾳ τοῦ κώνου τῇ μεταξὺ τῶν ΕΖ, ΗΘ, ὁ δὲ Ρ τῇ μεταξὺ τῶν ΗΘ, ΓΔ, ὁ δὲ Σ τῇ μεταξὺ τῶν



ΔΓ, ΚΛ, καὶ ἔτι ὁ μὲν Τ ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ κώνου τῇ μεταξὺ τῶν ΚΛ, ΜΝ, ὁ δὲ Υ τῇ τοῦ ΜΒΝ κώνου ἐπιφανείᾳ ἴσος ἐστίν· οἱ πάντες ἄρα κύκλοι ἴσοι εἰσὶν τῇ τοῦ ἐγγεγραμμένου σχήματος ἐπιφανείᾳ. καὶ φανερόν, ὅτι αἱ ἐκ τῶν κέντρων τῶν Ο, Π, Ρ, Σ, Τ, Υ κύκλων δύνανται τὸ περιεχόμενον ὑπό τε τῆς ΑΕ καὶ δὶς τῶν ἡμίσεων τῆς ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ, αἳ ὅλαι εἰσὶν contained by AE and the half of KΛ + MN, and let the square of the radius of Υ be equal to the rectangle contained by AE and the half of MN. Now by these constructions the circle O is equal to the surface of the cone AEZ [Prop. 14], the circle Π is equal to the surface of the conical frustum between EZ and HΘ, the circle P is equal to the surface of the conical frustum between HΘ and ΓΔ, the circle Σ is



equal to the surface of the conical frustum between ΔΓ and KΛ, the circle T is equal to the surface of the conical frustum between KΛ, MN [Prop. 16], and the circle Υ is equal to the surface of the cone MBN [Prop. 14]; the sum of the circles is therefore equal to the surface of the inscribed figure. And it is manifest that the sum of the squares of the radii of the circles O, Π, P, Σ, T, Υ is equal to the rectangle contained by AE and twice the sum of the halves of EZ, HΘ, ΓΔ, KΛ, MN, that is to say, the sum of EZ, αἱ ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ· αἱ ἄρα ἐκ τῶν κέντρων τῶν Ο, Π, Ρ, Σ, Τ, Υ κύκλων δύνανται τὸ περιεχόμενον ὑπό τε τῆς ΑΕ καὶ πασῶν τῶν ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ. ἀλλὰ καὶ ἡ ἐκ τοῦ κέντρου τοῦ Ξ κύκλου δύναται τὸ ὑπὸ τῆς ΑΕ καὶ τῆς συγκειμένης ἐκ πασῶν τῶν ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ· ἡ ἄρα ἐκ τοῦ κέντρου τοῦ Ξ κύκλου δύναται τὰ ἀπὸ τῶν ἐκ τῶν κέντρων τῶν Ο, Π, Ρ, Σ, Τ, Υ κύκλων· καὶ ὁ κύκλος ἄρα ὁ Ξ ἴσος ἐστὶ τοῖς Ο, Π, Ρ, Σ, Τ, Υ κύκλοις. οἱ δὲ Ο, Π, Ρ, Σ, Τ, Υ κύκλοι ἀπεδείχθησαν ἴσοι τῇ εἰρημένῃ τοῦ σχήματος ἐπιφανείᾳ· καὶ ὁ Ξ ἄρα κύκλος ἴσος ἔσται τῇ ἐπιφανείᾳ τοῦ σχήματος.

κε′

Τοῦ ἐγγεγραμμένου σχήματος εἰς τὴν σφαῖραν ἡ ἐπιφάνεια ἡ περιεχομένη ὑπὸ τῶν κωνικῶν ἐπιφανειῶν ἐλάσσων ἐστὶν ἢ τετραπλασία τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.

Ἔστω ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν αὐτῷ ἐγγεγράφθω πολύγωνον [ἀρτιόγωνον] ἰσόπλευρον, οὗ αἱ πλευραὶ ὑπὸ τετράδος μετροῦνται, καὶ ἀπ' αὐτοῦ νοείσθω ἐπιφάνεια ἡ ὑπὸ τῶν

---

[a] If the radius of the sphere is a this proposition shows that

$$\text{Surface of inscribed figure} = \text{circle } \Xi = \pi \,.\, \text{AE} \,.\, (\text{EZ} + \text{H}\Theta + \Gamma\Delta + \text{K}\Lambda + \text{MN}).$$

Now $\text{AE} = 2a \sin \frac{\pi}{4n}$, and by p. 91 n. *b*

ΗΘ, ΓΔ, ΚΛ, ΜΝ ; therefore the sum of the squares of the radii of the circles Ο, Π, Ρ, Σ, Τ, Υ is equal to the rectangle contained by ΑΕ and the sum of ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ. But the square of the radius of the circle Ξ is equal to the rectangle contained by ΑΕ and a straight line made up of ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ [*ex hypothesi*] ; therefore the square of the radius of the circle Ξ is equal to the sum of the squares of the radii of the circles Ο, Π, Ρ, Σ, Τ, Υ ; and therefore the circle Ξ is equal to the sum of the circles Ο, Π, Ρ, Σ, Τ, Υ. Now the sum of the circles Ο, Π, Ρ, Σ, Τ, Υ was shown to be equal to the surface of the aforesaid figure ; and therefore the circle Ξ will be equal to the surface of the figure.[a]

Prop. 25

The surface of the figure inscribed in the sphere and bounded by the surfaces of cones is less than four times the greatest of the circles in the sphere.

Let ΑΒΓΔ be the greatest circle in a sphere, and in it let there be inscribed an equilateral polygon, the number of whose sides is divisible by four, and, starting from it, let a surface bounded by surfaces of

$$\mathrm{EZ}+\mathrm{H\Theta}+\Gamma\Delta+\mathrm{K\Lambda}+\mathrm{MN}=2a\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right].$$

$\therefore$ Surface of inscribed figure $=4\pi a^2\sin\frac{\pi}{4n}\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right]$

$$=4\pi a^2\cos\frac{\pi}{4n}$$

[by p. 91 n. *b*.

κωνικῶν ἐπιφανειῶν περιεχομένη· λέγω, ὅτι ἡ ἐπιφάνεια τοῦ ἐγγραφέντος ἐλάσσων ἐστὶν ἢ τετραπλασία τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ὑπὸ δύο πλευρὰς ὑποτείνουσαι τοῦ πολυγώνου αἱ ΕΙ, ΘΜ καὶ ταύταις παράλληλοι αἱ ΖΚ, ΔΒ, ΗΛ, ἐκκείσθω δέ τις κύκλος ὁ Ρ, οὗ ἡ ἐκ τοῦ κέντρου δύναται τὸ ὑπὸ τῆς ΕΑ καὶ τῆς ἴσης πάσαις ταῖς ΕΙ, ΖΚ, ΒΔ, ΗΛ, ΘΜ· διὰ δὴ τὸ προδειχθὲν ἴσος ἐστὶν ὁ κύκλος τῇ τοῦ εἰρημένου σχήματος ἐπιφανείᾳ. καὶ ἐπεὶ ἐδείχθη, ὅτι ἐστίν, ὡς ἡ ἴση πάσαις ταῖς ΕΙ, ΖΚ, ΒΔ, ΗΛ, ΘΜ πρὸς τὴν διάμετρον τοῦ κύκλου τὴν ΑΓ, οὕτως ἡ ΓΕ πρὸς ΕΑ, τὸ ἄρα ὑπὸ τῆς ἴσης πάσαις ταῖς εἰρημέναις καὶ τῆς ΕΑ, τουτέστιν τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ Ρ κύκλου, ἴσον ἐστὶν τῷ ὑπὸ τῶν ΑΓ, ΓΕ. ἀλλὰ καὶ τὸ ὑπὸ ΑΓ, ΓΕ ἔλασσόν ἐστι τοῦ ἀπὸ τῆς ΑΓ· ἔλασσον ἄρα ἐστὶν τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ Ρ τοῦ ἀπὸ τῆς ΑΓ [ἐλάσσων ἄρα ἐστὶν ἡ ἐκ τοῦ κέντρου τοῦ Ρ τῆς ΑΓ· ὥστε ἡ διάμετρος τοῦ Ρ κύκλου ἐλάσσων ἐστὶν ἢ διπλασία τῆς διαμέτρου τοῦ ΑΒΓΔ κύκλου, καὶ δύο ἄρα τοῦ ΑΒΓΔ κύκλου διάμετροι μείζους εἰσὶ τῆς διαμέτρου τοῦ Ρ κύκλου, καὶ τὸ τετράκις ἀπὸ τῆς διαμέτρου τοῦ ΑΒΓΔ κύκλου, τουτέστι τῆς ΑΓ, μεῖζόν ἐστι τοῦ ἀπὸ τῆς τοῦ Ρ κύκλου διαμέτρου. ὡς δὲ τὸ τετράκις ἀπὸ τῆς ΑΓ πρὸς τὸ ἀπὸ τῆς τοῦ Ρ κύκλου διαμέτρου, οὕτως τέσσαρες κύκλοι οἱ ΑΒΓΔ πρὸς τὸν Ρ κύκλον· τέσσαρες ἄρα κύκλοι οἱ ΑΒΓΔ μείζους εἰσὶν τοῦ Ρ κύκλου][1]· ὁ ἄρα κύκλος ὁ Ρ ἐλάσσων ἐστὶν ἢ τετραπλάσιος τοῦ

[1] *ἐλάσσων . . . κύκλου* om. Heiberg.

cones be imagined ; I say that the surface of the inscribed figure is less than four times the greatest of the circles inscribed in the sphere.

For let EI, ΘM, subtended by two sides of the polygon, be joined, and let ZK, ΔB, HΛ be parallel



to them, and let there be set out a circle P, the square of whose radius is equal to the rectangle contained by EA and a straight line equal to the sum of EI, ZK, BΔ, HΛ, ΘM ; by what has been proved above, the circle is equal to the surface of the aforesaid figure. And since it was proved that the ratio of the sum of EI, ZK, BΔ, HΛ, ΘM to AΓ, the diameter of the circle, is equal to the ratio of ΓE to EA [Prop. 21], therefore

$$EA \cdot (EI + ZK + B\Delta + H\Lambda + \Theta M)$$

that is, the square on the radius of the circle P

[*ex hyp.*

$$= A\Gamma \cdot \Gamma E. \qquad \text{[Eucl. vi. 16}$$

But $$A\Gamma \cdot \Gamma E < A\Gamma^2. \qquad \text{[Eucl. iii. 15}$$

Therefore the square on the radius of P is less than the square on AΓ ; therefore the circle P is less μεγιστου κύκλου. ὁ δὲ Ρ κύκλος ἴσος ἐδείχθη τῇ εἰρημένῃ ἐπιφανείᾳ τοῦ σχήματος· ἡ ἄρα ἐπιφάνεια τοῦ σχήματος ἐλάσσων ἐστὶν ἢ τετραπλασία τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.

κη´

Ἔστω ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓΔ, περὶ δὲ τὸν ΑΒΓΔ κύκλον περιγεγράφθω πολύγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον, τὸ δὲ πλῆθος τῶν πλευρῶν αὐτοῦ μετρείσθω ὑπὸ τετράδος, τὸ δὲ περὶ τὸν κύκλον περιγεγραμμένον πολύγωνον κύκλος περιγεγραμμένος περιλαμβανέτω περὶ τὸ αὐτὸ κέντρον γινόμενος τῷ ΑΒΓΔ. μενούσης δὴ τῆς ΕΗ περιενεχθήτω τὸ ΕΖΗΘ ἐπίπεδον, ἐν ᾧ τό τε πολύγωνον καὶ ὁ κύκλος· δῆλον οὖν, ὅτι ἡ μὲν περιφέρεια τοῦ ΑΒΓΔ κύκλου κατὰ τῆς ἐπιφανείας τῆς σφαίρας οἰσθήσεται, ἡ δὲ περιφέρεια τοῦ ΕΖΗΘ κατ᾽ ἄλλης ἐπιφανείας σφαίρας τὸ than four times the greatest circle. But the circle P was proved equal to the aforesaid surface of the figure; therefore the surface of the figure is less than four times the greatest of the circles in the sphere.

Prop. 28

Let ΑΒΓΔ be the greatest circle in a sphere, and about the circle ΑΒΓΔ let there be circumscribed



an equilateral and equiangular polygon, the number of whose sides is divisible by four, and let a circle be described about the polygon circumscribing the circle, having the same centre as ΑΒΓΔ. While EH remains stationary, let the plane ΕΖΗΘ, in which lie both the polygon and the circle, be rotated; it is clear that the circumference of the circle ΑΒΓΔ will traverse the surface of the sphere, while the circumference of ΕΖΗΘ will traverse the surface of another *αὐτὸ κέντρον ἐχούσης τῇ ἐλάσσονι οἰσθήσεται, αἱ δὲ ἁφαί, καθ' ἃς ἐπιψαύουσιν αἱ πλευραί, γράφουσιν κύκλους ὀρθοὺς πρὸς τὸν* ΑΒΓΔ *κύκλον ἐν τῇ ἐλάσσονι σφαίρᾳ, αἱ δὲ γωνίαι τοῦ πολυγώνου χωρὶς τῶν πρὸς τοῖς* Ε, Η *σημείοις κατὰ κύκλων περιφερειῶν οἰσθήσονται ἐν τῇ ἐπιφανείᾳ τῆς μείζονος σφαίρας γεγραμμένων ὀρθῶν πρὸς τὸν* ΕΖΗΘ *κύκλον, αἱ δὲ πλευραὶ τοῦ πολυγώνου κατὰ κωνικῶν ἐπιφανειῶν οἰσθήσονται, καθάπερ ἐπὶ τῶν πρὸ τούτου· ἔσται οὖν τὸ σχῆμα τὸ περιεχόμενον ὑπὸ τῶν ἐπιφανειῶν τῶν κωνικῶν περὶ μὲν τὴν ἐλάσσονα σφαῖραν περιγεγραμμένον, ἐν δὲ τῇ μείζονι ἐγγεγραμμένον. ὅτι δὲ ἡ ἐπιφάνεια τοῦ περιγεγραμμένου σχήματος μείζων ἐστὶ τῆς ἐπιφανείας τῆς σφαίρας, οὕτως δειχθήσεται.*

Ἔστω γὰρ ἡ ΚΔ *διάμετρος κύκλου τινὸς τῶν ἐν τῇ ἐλάσσονι σφαίρᾳ τῶν* Κ, Δ *σημείων ὄντων, καθ' ἃ ἅπτονται τοῦ* ΑΒΓΔ *κύκλου αἱ πλευραὶ*[1] *τοῦ περιγεγραμμένου πολυγώνου. διῃρημένης δὴ τῆς σφαίρας ὑπὸ τοῦ ἐπιπέδου τοῦ κατὰ τὴν* ΚΔ *ὀρθοῦ πρὸς τὸν* ΑΒΓΔ *κύκλον καὶ ἡ ἐπιφάνεια τοῦ περιγεγραμμένου σχήματος περὶ τὴν σφαῖραν διαιρεθήσεται ὑπὸ τοῦ ἐπιπέδου. καὶ φανερόν, ὅτι τὰ αὐτὰ πέρατα ἔχουσιν ἐν ἐπιπέδῳ· ἀμφοτέρων γὰρ τῶν ἐπιπέδων πέρας ἐστὶν ἡ τοῦ κύκλου περιφέρεια τοῦ περὶ διάμετρον τὴν* ΚΔ *ὀρθοῦ πρὸς τὸν* ΑΒΓΔ *κύκλον· καί εἰσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ περιλαμβάνεται ἡ ἑτέρα αὐτῶν ὑπὸ τῆς ἑτέρας ἐπιφανείας καὶ τῆς ἐπιπέδου τῆς τὰ αὐτὰ πέρατα ἐχούσης· ἐλάσσων οὖν ἐστιν ἡ περιλαμβανομένη τοῦ τμήματος τῆς σφαίρας ἐπιφάνεια τῆς ἐπιφανείας τοῦ σχήματος τοῦ περι-*

sphere, having the same centre as the lesser sphere ; the points of contact in which the sides touch [the smaller circle] will describe circles on the lesser sphere at right angles to the circle ΑΒΓΔ, and the angles of the polygon, except those at the points E, H will traverse the circumferences of circles on the surface of the greater sphere at right angles to the circle EZHΘ, while the sides of the polygon will traverse surfaces of cones, as in the former case ; there will therefore be a figure, bounded by surfaces of cones, described about the lesser sphere and inscribed in the greater. That the surface of the circumscribed figure is greater than the surface of the sphere will be proved thus.

Let ΚΔ be a diameter of one of the circles in the lesser sphere, K, Δ being points at which the sides of the circumscribed polygon touch the circle ΑΒΓΔ. Now, since the sphere is divided by the plane containing ΚΔ at right angles to the circle ΑΒΓΔ, the surface of the figure circumscribed about the sphere will be divided by the same plane. And it is manifest that they [a] have the same extremities in a plane ; for the extremity of both surfaces [b] is the circumference of the circle about the diameter ΚΔ at right angles to the circle ΑΒΓΔ ; and they are both concave in the same direction, and one of them is included by the other and the plane having the same extremities ; therefore the included surface of the segment of the sphere is less than the surface of

[a] *i.e.*, the surface formed by the revolution of the circular segment ΚΑΔ and the surface formed by the revolution of the portion K . . . E . . . Δ of the polygon.

[b] In the text ἐπιπέδων should obviously be ἐπιφανειῶν.

[1] *αἱ πλευραὶ* Heiberg ; om. codd.

γεγραμμένου περὶ αὐτήν. ὁμοίως δὲ καὶ ἡ τοῦ λοιποῦ τμήματος τῆς σφαίρας ἐπιφάνεια ἐλάσσων ἐστὶν τῆς ἐπιφανείας τοῦ σχήματος τοῦ περιγεγραμμένου περὶ αὐτήν· δῆλον οὖν, ὅτι καὶ ὅλη ἡ ἐπιφάνεια τῆς σφαίρας ἐλάσσων ἐστὶ τῆς ἐπιφανείας τοῦ σχήματος τοῦ περιγεγραμμένου περὶ αὐτήν.

κθʹ

Τῇ *ἐπιφανείᾳ τοῦ περιγεγραμμένου σχήματος περὶ τὴν σφαῖραν ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴσον δύναται τῷ περιεχομένῳ ὑπό τε μιᾶς πλευρᾶς τοῦ πολυγώνου καὶ τῆς ἴσης πάσαις ταῖς ἐπιζευγνυούσαις τὰς γωνίας τοῦ πολυγώνου οὔσαις παρά τινα τῶν ὑπὸ δύο πλευρὰς τοῦ πολυγώνου ὑποτεινουσῶν.*

Τὸ *γὰρ περιγεγραμμένον περὶ τὴν ἐλάσσονα σφαῖραν ἐγγέγραπται εἰς τὴν μείζονα σφαῖραν· τοῦ δὲ ἐγγεγραμμένου ἐν τῇ σφαίρᾳ περιεχομένου ὑπὸ τῶν ἐπιφανειῶν τῶν κωνικῶν δέδεικται ὅτι τῇ ἐπιφανείᾳ ἴσος ἐστὶν ὁ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου δύναται τὸ περιεχόμενον ὑπό τε μιᾶς πλευρᾶς τοῦ πολυγώνου καὶ τῆς ἴσης πάσαις ταῖς ἐπιζευγνυούσαις τὰς γωνίας τοῦ πολυγώνου οὔσαις παρά τινα τῶν ὑπὸ δύο πλευρὰς ὑποτεινουσῶν· δῆλον οὖν ἐστι τὸ προειρημένον.*

---

[a] If the radius of the inner sphere is a and that of the outer sphere a', and the regular polygon has $4n$ sides, then

$$a' = a \sec \frac{\pi}{4n}.$$

This proposition shows that

$$\frac{\text{Area of figure circumscribed}}{\text{to circle of radius } a} = \frac{\text{Area of figure inscribed in}}{\text{circle of radius } a'}$$

the figure circumscribed about it [Post. 4]. Similarly the surface of the remaining segment of the sphere is less than the surface of the figure circumscribed about it ; it is clear therefore that the whole surface of the sphere is less than the surface of the figure circumscribed about it.

Prop. 29

The surface of the figure circumscribed about the sphere is equal to a circle, the square of whose radius is equal to the rectangle contained by one side of the polygon and a straight line equal to the sum of all the straight lines joining the angles of the polygon, being parallel to one of the straight lines subtended by two sides of the polygon.

For the figure circumscribed about the lesser sphere is inscribed in the greater sphere [Prop. 28] ; and it has been proved that the surface of the figure inscribed in the sphere and formed by surfaces of cones is equal to a circle, the square of whose radius is equal to the rectangle contained by one side of the polygon and a straight line equal to the sum of all the straight lines joining the angles of the polygon, being parallel to one of the straight lines subtended by two sides [Prop. 24] ; what was aforesaid is therefore obvious.[a]

$$=4\pi a'^2 \sin\frac{\pi}{4n}\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right],$$

or $4\pi a'^2 \cos\frac{\pi}{4n}$ [by p. 91 n. *b*

$$=4\pi a^2 \sec^2\frac{\pi}{4n}\sin\frac{\pi}{4n}\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right],$$

or $4\pi a^2 \sec\frac{\pi}{4n}$.

λ′

Τοῦ σχήματος τοῦ περιγεγραμμένου περὶ τὴν σφαῖραν ἡ ἐπιφάνεια μείζων ἐστὶν ἢ τετραπλασία τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.

Ἔστω γὰρ ἥ τε σφαῖρα καὶ ὁ κύκλος καὶ τὰ ἄλλα τὰ αὐτὰ τοῖς πρότερον προκειμένοις, καὶ ὁ Λ κύκλος ἴσος τῇ ἐπιφανείᾳ ἔστω τοῦ προκειμένου περιγεγραμμένου περὶ τὴν ἐλάσσονα σφαῖραν.

Ἐπεὶ οὖν ἐν τῷ ΕΖΗΘ κύκλῳ πολύγωνον



ἰσόπλευρον ἐγγέγραπται καὶ ἀρτιογώνιον, αἱ ἐπιζευγνύουσαι τὰς τοῦ πολυγώνου πλευρὰς παράλληλοι οὖσαι τῇ ΖΘ πρὸς τὴν ΖΘ τὸν αὐτὸν λόγον ἔχουσιν, ὃν ἡ ΘΚ πρὸς ΚΖ· ἴσον ἄρα ἐστὶν τὸ περιεχόμενον σχῆμα ὑπό τε μιᾶς πλευρᾶς τοῦ πολυγώνου καὶ τῆς ἴσης πάσαις ταῖς ἐπιζευγνυούσαις τὰς γωνίας τοῦ πολυγώνου τῷ περιεχομένῳ ὑπὸ τῶν ΖΘΚ· ὥστε ἡ ἐκ τοῦ κέντρου τοῦ Λ κύκλου ἴσον δύναται τῷ ὑπὸ ΖΘΚ· μείζων ἄρα

Prop. 30

The surface of the figure circumscribed about the sphere is greater than four times the greatest of the circles in the sphere.

For let there be both the sphere and the circle and the other things the same as were posited before, and let the circle Λ be equal to the surface of the given figure circumscribed about the lesser sphere.

Therefore since in the circle ΕΖΗΘ there has been inscribed an equilateral polygon with an even number of angles, the [sum of the straight lines] joining the sides of the polygon, being parallel to ΖΘ, have the same ratio to ΖΘ as ΘΚ to ΚΖ [Prop. 21]; therefore the rectangle contained by one side of the polygon and the straight line equal to the sum of the straight lines joining the angles of the polygon is equal to the rectangle contained by ΖΘ, ΘΚ [Eucl. vi. 16]; so that the square of the radius of the circle Λ is equal to the rectangle contained by ΖΘ, ΘΚ ἐστὶν ἡ ἐκ τοῦ κέντρου τοῦ Λ κύκλου τῆς ΘΚ. ἡ δὲ ΘΚ ἴση ἐστὶ τῇ διαμέτρῳ τοῦ ΑΒΓΔ κύκλου [διπλασία γάρ ἐστιν τῆς ΧΣ οὔσης ἐκ τοῦ κέντρου τοῦ ΑΒΓΔ κύκλου].[1] δῆλον οὖν, ὅτι μείζων ἐστὶν ἢ τετραπλάσιος ὁ Λ κύκλος, τουτέστιν ἡ ἐπιφάνεια τοῦ περιγεγραμμένου σχήματος περὶ τὴν ἐλάσσονα σφαῖραν, τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.

λγ′

Πάσης σφαίρας ἡ ἐπιφάνεια τετραπλασία ἐστὶ τοῦ μεγίστου κύκλου τῶν ἐν αὐτῇ.

Ἔστω γὰρ σφαῖρά τις, καὶ ἔστω τετραπλάσιος τοῦ μεγίστου κύκλου ὁ Α· λέγω, ὅτι ὁ Α ἴσος ἐστὶν τῇ ἐπιφανείᾳ τῆς σφαίρας.

Εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων. ἔστω πρότερον μείζων ἡ ἐπιφάνεια τῆς σφαίρας τοῦ κύκλου. ἔστι δὴ δύο μεγέθη ἄνισα ἥ τε ἐπιφάνεια τῆς σφαίρας καὶ ὁ Α κύκλος· δυνατὸν ἄρα ἐστὶ λαβεῖν δύο εὐθείας ἀνίσους, ὥστε τὴν μείζονα πρὸς τὴν ἐλάσσονα λόγον ἔχειν ἐλάσσονα τοῦ, ὃν ἔχει ἡ

[1] διπλασία . . . κύκλου om. Heiberg.

---

[a] Because ΖΘ > ΘΚ [Eucl. iii. 15].

[Prop. 29]. Therefore the radius of the circle Λ is greater than ΘK.[a] Now ΘK is equal to the diameter of the circle ΑΒΓΔ; it is therefore clear that the circle Λ, that is, the surface of the figure circumscribed about the lesser sphere, is greater than four times the greatest of the circles in the sphere.

Prop. 33

The surface of any sphere is four times the greatest of the circles in it.

For let there be a sphere, and let A be four times the greatest circle; I say that A is equal to the surface of the sphere.

For if not, either it is greater or less. First, let the surface of the sphere be greater than the circle.



Then there are two unequal magnitudes, the surface of the sphere and the circle A; it is therefore possible to take two unequal straight lines so that the greater bears to the less a ratio less than that which the surἐπιφάνεια τῆς σφαίρας πρὸς τὸν κύκλον. εἰλήφθωσαν αἱ Β, Γ, καὶ τῶν Β, Γ μέση ἀνάλογον ἔστω ἡ Δ, νοείσθω δὲ καὶ ἡ σφαῖρα ἐπιπέδῳ τετμημένη διὰ τοῦ κέντρου κατὰ τὸν ΕΖΗΘ κύκλον, νοείσθω δὲ καὶ εἰς τὸν κύκλον ἐγγεγραμμένον καὶ περιγεγραμμένον πολύγωνον, ὥστε ὅμοιον εἶναι τὸ περιγεγραμμένον τῷ ἐγγεγραμμένῳ πολυγώνῳ καὶ τὴν τοῦ περιγεγραμμένου πλευρὰν ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ἡ Β πρὸς Δ [καὶ ὁ διπλάσιος ἄρα λόγος τοῦ διπλασίου λόγου ἐστὶν ἐλάσσων. καὶ τοῦ μὲν τῆς Β πρὸς Δ διπλάσιός ἐστιν ὁ τῆς Β πρὸς τὴν Γ, τῆς δὲ πλευρᾶς τοῦ περιγεγραμμένου πολυγώνου πρὸς τὴν πλευρὰν τοῦ ἐγγεγραμμένου διπλάσιος ὁ τῆς ἐπιφανείας τοῦ περιγεγραμμένου στερεοῦ πρὸς τὴν ἐπιφάνειαν τοῦ ἐγγεγραμμένου][1]· ἡ ἐπιφάνεια ἄρα τοῦ περιγεγραμμένου σχήματος περὶ τὴν σφαῖραν πρὸς τὴν ἐπιφάνειαν τοῦ ἐγγεγραμμένου σχήματος ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ἐπιφάνεια τῆς σφαίρας πρὸς τὸν Α κύκλον· ὅπερ ἄτοπον· ἡ μὲν γὰρ ἐπιφάνεια τοῦ περιγεγραμμένου τῆς ἐπιφανείας τῆς σφαίρας μείζων ἐστίν, ἡ δὲ ἐπιφάνεια τοῦ ἐγγεγραμμένου σχήματος τοῦ Α κύκλου ἐλάσσων ἐστί [δέδεικται γὰρ ἡ ἐπιφάνεια τοῦ ἐγγεγραμμένου ἐλάσσων τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ ἡ τετραπλασία, τοῦ δὲ μεγίστου κύκλου τετραπλάσιός ἐστιν ὁ Α κύκλος].[2] οὐκ ἄρα ἡ ἐπιφάνεια τῆς σφαίρας μείζων ἐστὶ τοῦ Α κύκλου.

[1] *καὶ . . . ἐγγεγραμμένου* om. Heiberg.
[2] *δέδεικται . . . κύκλος* "repetitionem inutilem Prop. 25," om. Heiberg.

face of the sphere bears to the circle [Prop. 2]. Let B, Γ be so taken, and let Δ be a mean proportional between B, Γ, and let the sphere be imagined as cut



through the centre along the [plane of the] circle EZHΘ, and let there be imagined a polygon inscribed in the circle and another circumscribed about it in such a manner that the circumscribed polygon is similar to the inscribed polygon and the side of the circumscribed polygon has [to the side of the inscribed polygon] [a] a ratio less than that which B has to Δ [Prop. 3]. Therefore the surface of the figure circumscribed about the sphere has to the surface of the inscribed figure a ratio less than that which the surface of the sphere has to the circle A; which is absurd; for the surface of the circumscribed figure is greater than the surface of the sphere [Prop. 28], while the surface of the inscribed figure is less than the circle A [Prop. 25]. Therefore the surface of the sphere is not greater than the circle A.

[a] Archimedes would not have omitted: πρὸς τὴν τοῦ ἐγγεγραμμένου.

Λέγω δή, ὅτι οὐδὲ ἐλάσσων. εἰ γὰρ δυνατόν, ἔστω· καὶ ὁμοίως εὑρήσθωσαν αἱ Β, Γ εὐθεῖαι, ὥστε τὴν Β πρὸς Γ ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ὁ Α κύκλος πρὸς τὴν ἐπιφάνειαν τῆς σφαίρας, καὶ τῶν Β, Γ μέση ἀνάλογον ἡ Δ, καὶ ἐγγεγράφθω καὶ περιγεγράφθω πάλιν, ὥστε τὴν τοῦ περιγεγραμμένου ἐλάσσονα λόγον ἔχειν τοῦ τῆς Β πρὸς Δ [καὶ τὰ διπλάσια ἄρα][1]· ἡ ἐπιφάνεια ἄρα τοῦ περιγεγραμμένου πρὸς τὴν ἐπιφάνειαν τοῦ ἐγγεγραμμένου ἐλάσσονα λόγον ἔχει ἤπερ [ἡ Β πρὸς Γ. ἡ δὲ Β πρὸς Γ ἐλάσσονα λόγον ἔχει ἤπερ][2] ὁ Α κύκλος πρὸς τὴν ἐπιφάνειαν τῆς σφαίρας· ὅπερ ἄτοπον· ἡ μὲν γὰρ τοῦ περιγεγραμμένου ἐπιφάνεια μείζων ἐστὶ τοῦ Α κύκλου, ἡ δὲ τοῦ ἐγγεγραμμένου ἐλάσσων τῆς ἐπιφανείας τῆς σφαίρας.

Οὐκ ἄρα οὐδὲ ἐλάσσων ἡ ἐπιφάνεια τῆς σφαίρας τοῦ Α κύκλου. ἐδείχθη δέ, ὅτι οὐδὲ μείζων· ἡ ἄρα ἐπιφάνεια τῆς σφαίρας ἴση ἐστὶ τῷ Α κύκλῳ, τουτέστι τῷ τετραπλασίῳ τοῦ μεγίστου κύκλου.

[1] *καὶ . . . ἄρα* om. Heiberg.
[2] *ἡ Β . . . ἤπερ* om. Heiberg.

---

[a] Archimedes would not have omitted these words.

[b] On p. 100 n. *a* it was proved that the area of the inscribed figure is

$$4\pi a^2 \sin\frac{\pi}{n}\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right],$$

$$\text{or } 4\pi a^2\cos\frac{\pi}{4n}.$$

On p. 108 n. *a* it was proved that the area of the circumscribed figure is

$$4\pi a^2\sec^2\frac{\pi}{4n}\sin\frac{\pi}{4n}\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right],$$

$$\text{or } 4\pi a^2\sec\frac{\pi}{4n}.$$

I say now that neither is it less. For, if possible let it be; and let the straight lines Β, Γ be similarly found, so that Β has to Γ a less ratio than that which the circle A has to the surface of the sphere, and let Δ be a mean proportional between Β, Γ, and let [polygons] be again inscribed and circumscribed, so that the [side] of the circumscribed polygon has [to the side of the inscribed polygon][a] a less ratio than that of Β to Δ; then the surface of the circumscribed polygon has to the surface of the inscribed polygon a ratio less than that which the circle A has to the surface of the sphere; which is absurd; for the surface of the circumscribed polygon is greater than the circle A, while that of the inscribed polygon is less than the surface of the sphere.

Therefore the surface of the sphere is not less than the circle A. And it was proved not to be greater; therefore the surface of the sphere is equal to the circle A, that is to four times the greatest circle.[b]

τὴν ΘΝ τοῖς ΤΗ, ΜΞ βάρεσιν, καὶ ὡς τὴν ΘΚ πρὸς ΚΝ, οὕτως τὴν ΜΞ πρὸς τὴν ΗΤ· ὥστε τοῦ ἐξ ἀμφοτέρων βάρους κέντρον ἐστὶν τοῦ βάρους τὸ Κ. ὁμοίως δὲ καί, ὅσαι ἂν ἀχθῶσιν ἐν τῷ ΖΑΓ τριγώνῳ παράλληλοι τῇ ΕΔ, ἰσορροπήσουσιν αὐτοῦ μένουσαι ταῖς ἀπολαμβανομέναις ἀπ' αὐτῶν ὑπὸ τῆς τομῆς μετενεχθείσαις ἐπὶ τὸ Θ, ὥστε εἶναι τοῦ ἐξ ἀμφοτέρων κέντρον τοῦ βάρους τὸ Κ. καὶ ἐπεὶ ἐκ μὲν τῶν ἐν τῷ ΓΖΑ τριγώνῳ τὸ ΓΖΑ τρίγωνον συνέστηκεν, ἐκ δὲ τῶν ἐν τῇ τομῇ ὁμοίως τῇ ΞΟ λαμβανομένων συνέστηκε τὸ ΑΒΓ τμῆμα, ἰσορροπήσει ἄρα τὸ ΖΑΓ τρίγωνον αὐτοῦ μένον τῷ τμήματι τῆς τομῆς τεθέντι περὶ κέντρον τοῦ βάρους τὸ Θ κατὰ τὸ Κ σημεῖον, ὥστε τοῦ ἐξ ἀμφοτέρων κέντρον εἶναι τοῦ βάρους τὸ Κ. τετμήσθω δὴ ἡ ΓΚ τῷ Χ, ὥστε τριπλασίαν εἶναι τὴν ΓΚ τῆς ΚΧ· ἔσται ἄρα τὸ Χ σημεῖον κέντρον βάρους τοῦ ΑΖΓ τριγώνου· δέδεικται γὰρ ἐν τοῖς Ἰσορροπικοῖς. ἐπεὶ οὖν ἰσόρροπον τὸ ΖΑΓ τρίγωνον αὐτοῦ μένον τῷ ΒΑΓ τμήματι κατὰ τὸ Κ τεθέντι περὶ τὸ Θ κέντρον τοῦ βάρους, καί ἐστιν τοῦ ΖΑΓ τριγώνου κέντρον βάρους τὸ Χ, ἔστιν ἄρα, ὡς τὸ ΑΖΓ τρίγωνον πρὸς τὸ ΑΒΓ τμῆμα κείμενον περὶ τὸ Θ κέντρον, οὕτως ἡ ΘΚ πρὸς ΧΚ. τριπλασία δέ ἐστιν ἡ ΘΚ τῆς ΚΧ· τριπλάσιον ἄρα καὶ τὸ ΑΖΓ τρίγωνον τοῦ ΑΒΓ τμήματος. ἔστι δὲ καὶ τὸ ΖΑΓ τρίγωνον τετραπλάσιον τοῦ ΑΒΓ τριγώνου διὰ τὸ ἴσην εἶναι τὴν μὲν ΖΚ τῇ ΚΑ, τὴν δὲ ΑΔ τῇ ΔΓ· ἐπίτριτον ἄρα ἐστὶν τὸ ΑΒΓ τμῆμα τοῦ ΑΒΓ τριγώνου. [τοῦτο οὖν φανερόν ἐστιν].[1]

[1] τοῦτο . . . ἐστιν om. Heiberg.

in the inverse proportion of the weights TH, MΞ,

and $\Theta K : KN = M\Xi : HT$;

therefore the centre of gravity of both [TH, MΞ] taken together is K. In the same way, as often as parallels to EΔ are drawn in the triangle ZAΓ, these parallels, remaining in the same position, will balance the parts cut off from them by the section and transferred to Θ, so that the centre of gravity of both together is K. And since the triangle ΓZA is composed of the [straight lines drawn] in ΓZA, and the segment ABΓ is composed of the lines in the section formed in the same way as ΞO, therefore the triangle ZAΓ in its present position will be balanced about K by the segment of the section placed with Θ for its centre of gravity, so that the centre of gravity of both combined is K. Now let ΓK be cut at X so that $\Gamma K = 3KX$; then the point X will be the centre of gravity of the triangle AZΓ; for this has been proved in the books *On Equilibriums.*[a] Then since the triangle ZAΓ in its present position is balanced about K by the segment BAΓ placed so as to have Θ for its centre of gravity, and since the centre of gravity of the triangle ZAΓ is X, therefore the ratio of the triangle AZΓ to the segment ABΓ placed about Θ as its centre [of gravity] is equal to $\Theta K : XK$. But $\Theta K = 3KX$; therefore

triangle $A Z\Gamma = 3$. segment ABΓ.

And triangle $Z A\Gamma = 4$. triangle ABΓ,

because $ZK = KA$ and $A\Delta = \Delta\Gamma$;

therefore segment $AB\Gamma = \frac{4}{3}$ triangle ABΓ.

[a] *Cf. De Plan. Equil.* i. 15.

[1]Τοῦτο δὴ διὰ μὲν τῶν νῦν εἰρημένων οὐκ ἀποδέδεικται, ἔμφασιν δέ τινα πεποίηκε τὸ συμπέρασμα ἀληθὲς εἶναι· διόπερ ἡμεῖς ὁρῶντες μὲν οὐκ ἀποδεδειγμένον, ὑπονοοῦντες δὲ τὸ συμπέρασμα ἀληθὲς εἶναι, τάξομεν τὴν γεωμετρουμένην ἀπόδειξιν ἐξευρόντες αὐτοὶ τὴν ἐκδοθεῖσαν πρότερον.[1]

Archim. *Quadr. Parab.*, Praef., Archim. ed. Heiberg ii. 262. 2–266. 4

Ἀρχιμήδης Δοσιθέῳ εὖ πράττειν.

Ἀκούσας Κόνωνα μὲν τετελευτηκέναι, ὃς ἦν οὐδὲν ἐπιλείπων ἁμῖν ἐν φιλίᾳ, τὶν δὲ Κόνωνος γνώριμον γεγενῆσθαι καὶ γεωμετρίας οἰκεῖον εἶμεν τοῦ μὲν τετελευτηκότος εἵνεκεν ἐλυπήθημες ὡς καὶ φίλου τοῦ ἀνδρὸς γεναμένου καὶ ἐν τοῖς μαθημάτεσσι θαυμαστοῦ τινος, ἐπροχειριζάμεθα δὲ ἀποστεῖλαί τοι γράψαντες, ὡς Κόνωνι γράφειν ἐγνωκότες ἦμες, γεωμετρικῶν θεωρημάτων, ὃ πρότερον μὲν οὐκ ἦν τεθεωρημένον, νῦν δὲ ὑφ' ἁμῶν τεθεώρηται, πρότερον μὲν διὰ μηχανικῶν εὑρεθέν, ἔπειτα δὲ καὶ διὰ τῶν γεωμετρικῶν ἐπιδειχθέν. τῶν μὲν οὖν πρότερον περὶ γεωμετρίαν πραγματευθέντων ἐπεχείρησάν τινες γράφειν ὡς δυνατὸν ἐὸν κύκλῳ τῷ δοθέντι καὶ κύκλου τμάματι τῷ δοθέντι χωρίον εὑρεῖν εὐθύγραμμον ἴσον, καὶ μετὰ ταῦτα τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς

[1] τοῦτο . . . πρότερον. In the MS. the whole paragraph from τοῦτο to πρότερον comes at the beginning of Prop. 2; it is more appropriate at the end of Prop. 1.

This, indeed, has not been actually demonstrated by the arguments now used, but they have given some indication that the conclusion is true ; seeing, therefore, that the theorem is not demonstrated, but suspecting that the conclusion is true, we shall have recourse [a] to the geometrical proof which I myself discovered and have already published.[b]

Archimedes, *Quadrature of a Parabola*, Preface, Archim. ed. Heiberg ii. 262. 2–266. 4

Archimedes to Dositheus greeting.

On hearing that Conon, who fulfilled in the highest degree the obligations of friendship, was dead, but that you were an acquaintance of Conon and also versed in geometry, while I grieved for the death of a friend and an excellent mathematician, I set myself the task of communicating to you, as I had determined to communicate to Conon, a certain geometrical theorem, which had not been investigated before, but has now been investigated by me, and which I first discovered by means of mechanics and later proved by means of geometry. Now some of those who in former times engaged in mathematics tried to find a rectilineal area equal to a given circle [c] and to a given segment of a circle, and afterwards they tried to square the area bounded by the section

[a] I have followed Heath's rendering of τάξομεν, which seems more probable than Heiberg's "suo loco proponemus," though it is a difficult meaning to extract from τάξομεν.

[b] Presumably *Quadr. Parab.* 24, the second of the proofs now to be given. The theorem has not been demonstrated, of course, because the triangle and the segment may not be supposed to be composed of straight lines.

[c] This seems to indicate that Archimedes had not at this time written his own book *On the Measurement of a Circle*. For attempts to square the circle, *v.* vol. i. pp. 308-347.

ὅλου τοῦ κώνου τομᾶς καὶ εὐθείας τετραγωνίζειν ἐπειρῶντο λαμβάνοντες οὐκ εὐπαραχώρητα λήμματα, διόπερ αὐτοῖς ὑπὸ τῶν πλείστων οὐκ εὑρισκόμενα ταῦτα κατεγνώσθεν. τὸ δὲ ὑπ' εὐθείας τε καὶ ὀρθογωνίου κώνου τομᾶς τμᾶμα περιεχόμενον οὐδένα τῶν προτέρων ἐγχειρήσαντα τετραγωνίζειν ἐπιστάμεθα, ὃ δὴ νῦν ὑφ' ἁμῶν εὕρηται· δείκνυται γάρ, ὅτι πᾶν τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς ἐπίτριτόν ἐστι τοῦ τριγώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν καὶ ὕψος ἴσον τῷ τμάματι λαμβανομένου τοῦδε τοῦ λήμματος ἐς τὰν ἀπόδειξιν αὐτοῦ· τῶν ἀνίσων χωρίων τὰν ὑπεροχάν, ᾇ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάσσονος, δυνατὸν εἶμεν αὐτὰν ἑαυτᾷ συντιθεμέναν παντὸς ὑπερέχειν τοῦ προτεθέντος πεπερασμένου χωρίου. κέχρηνται δὲ καὶ οἱ πρότερον γεωμέτραι τῷδε τῷ λήμματι· τούς τε γὰρ κύκλους διπλασίονα λόγον ἔχειν ποτ' ἀλλάλους τᾶν διαμέτρων ἀποδεδείχασιν αὐτῷ τούτῳ τῷ λήμματι χρωμένοι, καὶ τὰς σφαίρας ὅτι τριπλασίονα λόγον ἔχοντι ποτ' ἀλλάλας τᾶν διαμέτρων, ἔτι δὲ καὶ ὅτι πᾶσα πυραμὶς τρίτον μέρος ἐστὶ τοῦ πρίσματος τοῦ τὰν αὐτὰν βάσιν ἔχοντος τᾷ πυραμίδι καὶ ὕψος ἴσον· καὶ διότι πᾶς κῶνος τρίτον μέρος ἐστὶ τοῦ κυλίνδρου τοῦ τὰν αὐτὰν βάσιν ἔχοντος τῷ κώνῳ καὶ ὕψος ἴσον, ὁμοῖον τῷ προειρημένῳ λῆμμά τι λαμβάνοντες ἔγραφον. συμβαίνει δὲ τῶν προειρημένων θεωρημάτων ἕκαστον μηδενὸς ἧσσον τῶν ἄνευ τούτου τοῦ λήμματος ἀποδεδειγμένων πεπιστευκέναι· ἀρκεῖ δὲ ἐς τὰν ὁμοίαν πίστιν τούτοις ἀναγμένων τῶν ὑφ' ἁμῶν ἐκδιδομένων. ἀναγράψαντες οὖν αὐτοῦ τὰς ἀποδείξιας ἀποστέλλομες of the whole cone and a straight line,[a] assuming lemmas far from obvious, so that it was recognized by most people that the problem had not been solved. But I do not know that any of my predecessors has attempted to square the area bounded by a straight line and a section of a right-angled cone, the solution of which problem I have now discovered; for it is shown that *any segment bounded by a straight line and a section of a right-angled cone is four-thirds of the triangle which has the same base and height equal to the segment,* and for the proof this lemma is assumed: *given* [*two*] *unequal areas, the excess by which the greater exceeds the less can, by being added to itself, be made to exceed any given finite area.* Earlier geometers have also used this lemma: for, by using this same lemma, they proved that circles are to one another in the duplicate ratio of their diameters, and that spheres are to one another in the triplicate ratio of their diameters, and also that any pyramid is a third part of the prism having the same base as the pyramid and equal height; and, further, by assuming a lemma similar to that aforesaid, they proved that any cone is a third part of the cylinder having the same base as the cone and equal height.[b] In the event, each of the aforesaid theorems has been accepted, no less than those proved without this lemma; and it will satisfy me if the theorems now published by me obtain the same degree of acceptance. I have therefore written out the proofs, and now send them, first

[a] A "section of the whole cone" is probably a section cutting right through it, *i.e.*, an ellipse, but the expression is odd.

[b] For this lemma, *v. supra*, p. 46 n. *a*.

πρῶτον μέν, ὡς διὰ τῶν μηχανικῶν ἐθεωρήθη, μετὰ ταῦτα δὲ καί, ὡς διὰ τῶν γεωμετρουμένων ἀποδείκνυται. προγράφεται δὲ καὶ στοιχεῖα κωνικὰ χρεῖαν ἔχοντα ἐς τὰς ἀπόδειξιν. ἔρρωσο.

Ibid., Prop. 14, Archim. ed. Heiberg ii. 284. 24–290. 17

Ἔστω τμᾶμα τὸ ΒΘΓ περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς. ἔστω δὴ πρῶτον



ἁ ΒΓ ποτ' ὀρθὰς τᾷ διαμέτρῳ, καὶ ἄχθω ἀπὸ μὲν τοῦ Β σαμείου ἁ ΒΔ παρὰ τὰν διάμετρον, ἀπὸ δὲ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ· ἐσσεῖται δὴ τὸ ΒΓΔ τρίγωνον ὀρθογώνιον. διῃρήσθω δὴ ἁ ΒΓ ἐς ἴσα τμάματα ὁποσαοῦν τὰ ΒΕ, ΕΖ, ΖΗ, ΗΙ, ΙΓ, καὶ ἀπὸ τᾶν τομᾶν ἄχθωσαν παρὰ τὰν διάμετρον αἱ ΕΣ, ΖΤ, ΗΥ, ΙΞ, ἀπὸ δὲ τῶν σαμείων, καθ' ἃ τέμνοντι as they were investigated by means of mechanics, and also as they may be proved by means of geometry. By way of preface are included the elements of conics which are needed in the demonstration. Farewell.

Ibid., Prop. 14, Archim. ed. Heiberg ii. 284. 24–290. 17

Let BΘΓ be a segment bounded by a straight line and a section of a right-angled cone. First let BΓ be at right angles to the axis, and from B let BΔ be drawn parallel to the axis, and from Γ let ΓΔ be drawn touching the section of the cone at Γ; then the triangle BΓΔ will be right-angled [Eucl. i. 29]. Let BΓ be divided into any number of equal segments BE, EZ, ZH, HI, IΓ, and from the points of section let EΣ, ZT, HΥ, IΞ be drawn parallel to the axis, and from the points in which these cut the *αὗται τὰν τοῦ κώνου τομάν, ἐπεζεύχθωσαν ἐπὶ τὸ* Γ *καὶ ἐκβεβλήσθωσαν. φαμὶ δὴ τὸ τρίγωνον τὸ* ΒΔΓ *τῶν μὲν τραπεζίων τῶν* ΚΕ, ΛΖ, ΜΗ, ΝΙ *καὶ τοῦ* ΞΙΓ *τριγώνου ἔλασσον εἶμεν ἢ τριπλάσιον, τῶν δὲ τραπεζίων τῶν* ΖΦ, ΗΘ, ΙΠ *καὶ τοῦ* ΙΟΓ *τριγώνου μεῖζόν [ἐστιν]*[1] *ἢ τριπλάσιον.*

Διάχθω γὰρ εὐθεῖα ἁ ΑΒΓ, *καὶ ἀπολελάφθω ἁ* ΑΒ *ἴσα τᾷ* ΒΓ, *καὶ νοείσθω ζύγιον τὸ* ΑΓ· *μέσον δὲ αὐτοῦ ἐσσεῖται τὸ* Β· *καὶ κρεμάσθω ἐκ τοῦ* Β, *κρεμάσθω δὲ καὶ τὸ* ΒΔΓ *ἐκ τοῦ ζυγοῦ κατὰ τὰ* Β, Γ, *ἐκ δὲ τοῦ θατέρου μέρεος τοῦ ζυγοῦ κρεμάσθω τὰ* Ρ, Χ, Ψ, Ω, Δ̣ *χωρία κατὰ τὸ* Α, *καὶ ἰσορροπείτω τὸ μὲν* Ρ *χωρίον τῷ* ΔΕ *τραπεζίῳ οὕτως ἔχοντι, τὸ δὲ* Χ *τῷ* ΖΣ *τραπεζίῳ, τὸ δὲ* Ψ *τῷ* ΤΗ, *τὸ δὲ* Ω *τῷ* ΥΙ, *τὸ δὲ* Δ̣ *τῷ* ΞΙΓ *τριγώνῳ· ἰσορροπήσει δὴ καὶ τὸ ὅλον τῷ ὅλῳ· ὥστε τριπλάσιον ἂν εἴη τὸ* ΒΔΓ *τρίγωνον τοῦ* ΡΧΨΩΔ̣ *χωρίου. καὶ ἐπεί ἐστιν τμᾶμα τὸ* ΒΓΘ, *ὃ περιέχεται ὑπό τε εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, καὶ ἀπὸ μὲν τοῦ* Β *παρὰ τὰν διάμετρον ἆκται ἁ* ΒΔ, *ἀπὸ δὲ τοῦ* Γ *ἁ* ΓΔ *ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ* Γ, *ἆκται δέ τις καὶ ἄλλα παρὰ τὰν διάμετρον ἁ* ΣΕ, *τὸν αὐτὸν ἔχει λόγον ἁ* ΒΓ *ποτὶ τὰν* ΒΕ, *ὃν ἁ* ΣΕ *ποτὶ τὰν* ΕΦ· *ὥστε καὶ ἁ* ΒΑ *ποτὶ τὰν* ΒΕ *τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ* ΔΕ *τραπέζιον ποτὶ τὸ* ΚΕ. *ὁμοίως δὲ δειχθήσεται ἁ* ΑΒ *ποτὶ τὰν* ΒΖ *τὸν αὐτὸν ἔχουσα λόγον, ὃν τὸ* ΣΖ *τραπέζιον ποτὶ τὸ* ΛΖ, *ποτὶ δὲ τὰν* ΒΗ, *ὃν τὸ* ΤΗ *ποτὶ τὸ* ΜΗ, *ποτὶ δὲ τὰν* ΒΙ, *ὃν τὸ* ΥΙ *ποτὶ τὸ* ΝΙ. *ἐπεὶ οὖν ἐστι τραπέζιον τὸ* ΔΕ *τὰς*

[1] *ἐστιν* om. Heiberg.

section of the cone let straight lines be drawn to Γ and produced. Then I say that the triangle $\mathrm{B\Delta\Gamma}$ is less than three times the trapezia KE, $\Lambda\mathrm{Z}$, MH, NI and the triangle $\Xi\mathrm{I}\Gamma$, but greater than three times the trapezia $\mathrm{Z}\Phi$, $\mathrm{H}\Theta$, $\mathrm{I}\Pi$ and the triangle $\mathrm{IO}\Gamma$.

For let the straight line $\mathrm{AB}\Gamma$ be drawn, and let AB be cut off equal to $\mathrm{B}\Gamma$, and let $\mathrm{A}\Gamma$ be imagined to be a balance; its middle point will be B; let it be suspended from B, and let the triangle $\mathrm{B\Delta\Gamma}$ be suspended from the balance at B, Γ, and from the other part of the balance let the areas P, X, Ψ, Ω, $\underset{\varsigma}{\Delta}$ be suspended at A, and let the area P balance the trapezium $\Delta\mathrm{E}$ in this position, let X balance the trapezium $\mathrm{Z}\Sigma$, let Ψ balance TH, let Ω balance $\Upsilon\mathrm{I}$, and let $\underset{\varsigma}{\Delta}$ balance the triangle $\Xi\mathrm{I}\Gamma$; then the whole will balance the whole; so that the triangle $\mathrm{B\Delta\Gamma}$ will be three times the area $\mathrm{P}+\mathrm{X}+\Psi+\Omega+\underset{\varsigma}{\Delta}$ [Prop. 6]. And since $\mathrm{B}\Gamma\Theta$ is a segment bounded by a straight line and a section of a right-angled cone, and $\mathrm{B}\Delta$ has been drawn from B parallel to the axis, and $\Gamma\Delta$ has been drawn from Γ touching the section of a cone at Γ, and another straight line $\Sigma\mathrm{E}$ has been drawn parallel to the axis,

$$\mathrm{B}\Gamma : \mathrm{BE} = \Sigma\mathrm{E} : \mathrm{E}\Phi; \qquad \text{[Prop. 5}$$

therefore $\quad \mathrm{BA} : \mathrm{BE} =$ trapezium $\Delta\mathrm{E}$: trapezium KE.[a]

Similarly it may be proved that

$$\mathrm{AB} : \mathrm{BZ} = \Sigma\mathrm{Z} : \Lambda\mathrm{Z},$$
$$\mathrm{AB} : \mathrm{BH} = \mathrm{TH} : \mathrm{MH},$$
$$\mathrm{AB} : \mathrm{BI} = \Upsilon\mathrm{I} : \mathrm{NI}.$$

Therefore, since $\Delta\mathrm{E}$ is a trapezium with right angles

[a] For $\mathrm{BA} = \mathrm{B}\Gamma$ and $\Delta\mathrm{E} : \mathrm{KE} = \Sigma\mathrm{E} : \mathrm{E}\Phi$.

μὲν ποτὶ τοῖς Β, Ε σαμείοις γωνίας ὀρθὰς ἔχον, τὰς δὲ πλευρὰς ἐπὶ τὸ Γ νευούσας, ἰσορροπεῖ δέ τι χωρίον αὐτῷ τὸ Ρ κρεμάμενον ἐκ τοῦ ζυγοῦ κατὰ τὸ Α οὕτως ἔχοντος τοῦ τραπεζίου, ὡς νῦν κεῖται, καὶ ἔστιν, ὡς ἁ ΒΑ ποτὶ τὰν ΒΕ, οὕτως τὸ ΔΕ τραπέζιον ποτὶ τὸ ΚΕ, μεῖζον ἄρα ἐστὶν τὸ ΚΕ χωρίον τοῦ Ρ χωρίου· δέδεικται γὰρ τοῦτο. πάλιν δὲ καὶ τὸ ΖΣ τραπέζιον τὰς μὲν ποτὶ τοῖς Ζ, Ε γωνίας ὀρθὰς ἔχον, τὰν δὲ ΣΤ νεύουσαν ἐπὶ τὸ Γ, ἰσορροπεῖ δὲ αὐτῷ χωρίον τὸ Χ ἐκ τοῦ ζυγοῦ κρεμάμενον κατὰ τὸ Α οὕτως ἔχοντος τοῦ τραπεζίου, ὡς νῦν κεῖται, καὶ ἔστιν, ὡς μὲν ἁ ΑΒ ποτὶ τὰν ΒΕ, οὕτως τὸ ΖΣ τραπέζιον ποτὶ τὸ ΖΦ, ὡς δὲ ἁ ΑΒ ποτὶ τὰν ΒΖ, οὕτως τὸ ΖΣ τραπέζιον ποτὶ τὸ ΛΖ· εἴη οὖν κα τὸ Χ χωρίον τοῦ μὲν ΛΖ τραπεζίου ἔλασσον, τοῦ δὲ ΖΦ μεῖζον· δέδεικται γὰρ καὶ τοῦτο. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ Ψ χωρίον τοῦ μὲν ΜΗ τραπεζίου ἔλασσον, τοῦ δὲ ΘΗ μεῖζον, καὶ τὸ Ω χωρίον τοῦ μὲν ΝΟΙΗ τραπεζίου ἔλασσον, τοῦ δὲ ΠΙ μεῖζον, ὁμοίως δὲ καὶ τὸ Ϡ χωρίον τοῦ μὲν ΞΙΓ τριγώνου ἔλασσον, τοῦ δὲ ΓΙΟ μεῖζον. ἐπεὶ οὖν τὸ μὲν ΚΕ τραπέζιον μεῖζόν ἐστι τοῦ Ρ χωρίου, τὸ δὲ ΛΖ τοῦ Χ, τὸ δὲ ΜΗ τοῦ Ψ, τὸ δὲ ΝΙ τοῦ Ω, τὸ δὲ ΞΙΓ τρίγωνον τοῦ Ϡ, φανερόν, ὅτι καὶ πάντα τὰ εἰρημένα χωρία μείζονά ἐστι τοῦ ΡΧΨΩϠ χωρίου. ἔστιν δὲ τὸ ΡΧΨΩϠ τρίτον μέρος τοῦ ΒΓΔ τριγώνου· δῆλον ἄρα, ὅτι τὸ ΒΓΔ τρίγωνον ἔλασσόν ἐστιν ἢ τριπλάσιον τῶν ΚΕ, ΛΖ, ΜΗ, ΝΙ τραπεζίων καὶ τοῦ ΞΙΓ τριγώνου. πάλιν, ἐπεὶ τὸ μὲν ΖΦ τραπέζιον ἔλασσόν ἐστι τοῦ Χ χωρίου, τὸ δὲ ΘΗ τοῦ Ψ, τὸ δὲ ΙΠ τοῦ Ω, τὸ δὲ ΙΟΓ τρίγωνον τοῦ Ϡ, φανερόν, ὅτι καὶ πάντα at the points B, E and with sides converging on Γ, and it balances the area P suspended from the balance at A, if the trapezium be in its present position, while

$$\text{BA} : \text{BE} = \Delta\text{E} : \text{KE},$$

therefore $\text{KE} > \text{P}$;

for this has been proved [Prop. 10]. Again, since ΖΣ is a trapezium with right angles at the points Z, E and with ΣΤ converging on Γ, and it balances the area X suspended from the balance at A, if the trapezium be in its present position, while

$$\text{AB} : \text{BE} = \text{Z}\Sigma : \text{Z}\Phi,$$

$$\text{AB} : \text{BZ} = \text{Z}\Sigma : \Lambda\text{Z},$$

therefore $\Lambda\text{Z} > \text{X} > \text{Z}\Phi$;

for this also has been proved [Prop. 12]. By the same reasoning

$$\text{MH} > \Psi > \Theta\text{H},$$

and $\text{NOIH} > \Omega > \Pi\text{I}$,

and similarly $\Xi\text{I}\Gamma > \underset{\varsigma}{\Delta} > \Gamma\text{IO}$.

Then, since $\text{KE} > \text{P}$, $\Lambda\text{Z} > \text{X}$, $\text{MH} > \Psi$, $\text{NI} > \Omega$, $\Xi\text{I}\Gamma > \underset{\varsigma}{\Delta}$, it is clear that the sum of the aforesaid areas is greater than the area $\text{P} + \text{X} + \Psi + \Omega + \underset{\varsigma}{\Delta}$. But

$$\text{P} + \text{X} + \Psi + \Omega + \underset{\varsigma}{\Delta} = \tfrac{1}{3}\,\text{B}\Gamma\Delta; \qquad \text{[Prop. 6}$$

it is therefore plain that

$$\text{B}\Gamma\Delta < 3(\text{KE} + \Lambda\text{Z} + \text{MH} + \text{NI} + \Xi\text{I}\Gamma).$$

Again, since $\text{Z}\Phi < \text{X}$, $\Theta\text{H} < \Psi$, $\Pi\text{I} < \Omega$, $\text{IO}\Gamma < \underset{\varsigma}{\Delta}$, it is τὰ εἰρημένα ἐλάσσονά ἐστι τοῦ ΔΩΨΧ χωρίου· φανερὸν οὖν, ὅτι καὶ τὸ ΒΔΓ τρίγωνον μεῖζόν ἐστιν ἢ τριπλάσιον τῶν ΦΖ, ΘΗ, ΙΠ τραπεζίων καὶ τοῦ ΙΓΟ τριγώνου, ἔλασσον δὲ ἢ τριπλάσιον τῶν προγεγραμμένων.

Ibid., Prop. 24, Archim. ed. Heiberg ii. 312. 2–314. 27

Πᾶν τμᾶμα τὸ περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς ἐπίτριτόν ἐστι τριγώνου τοῦ τὰν αὐτὰν βάσιν ἔχοντος αὐτῷ καὶ ὕψος ἴσον.

Ἔστω γὰρ τὸ ΑΔΒΕΓ τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, τὸ δὲ ΑΒΓ τρίγωνον ἔστω τὰν αὐτὰν βάσιν ἔχον τῷ τμάματι



καὶ ὕψος ἴσον, τοῦ δὲ ΑΒΓ τριγώνου ἔστω ἐπίτριτον τὸ Κ χωρίον. δεικτέον, ὅτι ἴσον ἐστὶ τῷ ΑΔΒΕΓ τμάματι.

Εἰ γὰρ μή ἐστιν ἴσον, ἤτοι μεῖζόν ἐστιν ἢ ἔλασσον. ἔστω πρότερον, εἰ δυνατόν, μεῖζον τὸ ΑΔΒΕΓ τμᾶμα τοῦ Κ χωρίου. ἐνέγραψα δὴ τὰ ΑΔΒ, ΒΕΓ τρίγωνα, ὡς εἴρηται, ἐνέγραψα δὲ καὶ εἰς τὰ περιλειπόμενα τμάματα ἄλλα τρίγωνα τὰν αὐτὰν clear that the sum of the aforesaid areas is greater than the area $\underset{s}{\Delta} + \Omega + \Psi + X$;

it is therefore manifest that

$$B\Delta\Gamma > 3(\Phi Z + \Theta H + I\Pi + I\Gamma O),$$ [a]

but is less than thrice the aforementioned areas.[b]

Ibid., Prop. **24**, Archim. ed. Heiberg ii. **312. 2–314. 27**

Any segment bounded by a straight line and a section of a right-angled cone is four-thirds of the triangle having the same base and equal height.

For let ΑΔΒΕΓ be a segment bounded by a straight line and a section of a right-angled cone, and let ΑΒΓ be a triangle having the same base as the segment and equal height, and let the area K be four-thirds of the triangle ΑΒΓ. It is required to prove that it is equal to the segment ΑΔΒΕΓ.

For if it is not equal, it is either greater or less. Let the segment ΑΔΒΕΓ first be, if possible, greater than the area K. Now I have inscribed the triangles ΑΔΒ, ΒΕΓ, as aforesaid,[c] and I have inscribed in the remaining segments other triangles having the same

[a] For $B\Delta\Gamma = 3\,(P + X + \Psi + \Omega + \underset{s}{\Delta}) > 3(\underset{s}{\Delta} + \Omega + \Psi + X)$.

[b] In Prop. 15 Archimedes shows that the same theorem holds good even if ΒΓ is not at right angles to the axis. It is then proved in Prop. 16, by the method of exhaustion, that the segment is equal to one-third of the triangle ΒΓΔ. This is done by showing, on the basis of the "Axiom of Archimedes," that by taking enough parts the difference between the circumscribed and the inscribed figures can be made as small as we please. It is equivalent to integration. From this it is easily proved that the segment is equal to four-thirds of a triangle with the same base and equal height (Prop. 17).

[c] In earlier propositions Archimedes has used the same procedure as he now describes. Δ, Ε are the points in which the diameter through the mid-points of ΑΒ, ΒΓ meet the curve.

βάσιν ἔχοντα τοῖς τμαμάτεσσιν καὶ ὕψος τὸ αὐτό, καὶ ἀεὶ εἰς τὰ ὕστερον γινόμενα τμάματα ἐγγράφω δύο τρίγωνα τὰν αὐτὰν βάσιν ἔχοντα τοῖς τμαμάτεσσιν καὶ ὕψος τὸ αὐτό· ἐσσοῦνται δὴ τὰ καταλειπόμενα τμάματα ἐλάσσονα τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει τὸ ΑΔΒΕΓ τμᾶμα τοῦ Κ χωρίου. ὥστε τὸ ἐγγραφόμενον πολύγωνον μεῖζον ἐσσεῖται τοῦ Κ· ὅπερ ἀδύνατον. ἐπεὶ γάρ ἐστιν ἑξῆς κείμενα χωρία ἐν τῷ τετραπλασίονι λόγῳ, πρῶτον μὲν τὸ ΑΒΓ τρίγωνον τετραπλάσιον τῶν ΑΔΒ, ΒΕΓ τριγώνων, ἔπειτα δὲ αὐτὰ ταῦτα τετραπλάσια τῶν εἰς τὰ ἑπόμενα τμάματα ἐγγραφέντων καὶ ἀεὶ οὕτω, δῆλον, ὡς σύμπαντα τὰ χωρία ἐλάσσονά ἐστιν ἢ ἐπίτριτα τοῦ μεγίστου, τὸ δὲ Κ ἐπίτριτόν ἐστι τοῦ μεγίστου χωρίου. οὐκ ἄρα ἐστὶν μεῖζον τὸ ΑΔΒΕΓ τμᾶμα τοῦ Κ χωρίου.

Ἔστω δέ, εἰ δυνατόν, ἔλασσον. κείσθω δὴ τὸ μὲν ΑΒΓ τρίγωνον ἴσον τῷ Ζ, τοῦ δὲ Ζ τέταρτον τὸ Η, καὶ ὁμοίως τοῦ Η τὸ Θ, καὶ ἀεὶ ἑξῆς τιθέσθω, ἕως κα γένηται τὸ ἔσχατον ἔλασσον τᾶς

---

[a] This was proved geometrically in Prop. 23, and is proved generally in Eucl. ix. 35. It is equivalent to the summation

$$1 + (\tfrac{1}{4}) + (\tfrac{1}{4})^2 + \ldots (\tfrac{1}{4})^{n-1} = \tfrac{4}{3} - \tfrac{1}{3}(\tfrac{1}{4})^{n-1} = \frac{1 - (\frac{1}{4})^n}{1 - \frac{1}{4}}.$$

base as the segments and equal height, and so on continually I inscribe in the resulting segments two



triangles having the same base as the segments and equal height; then there will be left [at some time] segments less than the excess by which the segment ΑΔΒΕΓ exceeds the area K [Prop. 20, coroll.]. Therefore the inscribed polygon will be greater than K; which is impossible. For since the areas successively formed are each four times as great as the next, the triangle ΑΒΓ being four times the triangles ΑΔΒ, ΒΕΓ [Prop. 21], then these last triangles four times the triangles inscribed in the succeeding segments, and so on continually, it is clear that the sum of all the areas is less than four-thirds of the greatest [Prop. 23],[a] and K is equal to four-thirds of the greatest area. Therefore the segment ΑΔΒΕΓ is not greater than the area K.

Now let it be, if possible, less. Then let

$$Z = \mathrm{AB\Gamma},\ H = \tfrac{1}{4}Z,\ \Theta = \tfrac{1}{4}H,$$

and so on continually, until the last [area] is less than ὑπεροχᾶς, ᾇ ὑπερέχει τὸ Κ χωρίον τοῦ τμάματος, καὶ ἔστω ἔλασσον τὸ Ι. ἔστιν δὴ τὰ Ζ, Η, Θ, Ι χωρία καὶ τὸ τρίτον τοῦ Ι ἐπίτριτα τοῦ Ζ. ἔστιν δὲ καὶ τὸ Κ τοῦ Ζ ἐπίτριτον· ἴσον ἄρα τὸ Κ τοῖς Ζ, Η, Θ, Ι καὶ τῷ τρίτῳ μέρει τοῦ Ι. ἐπεὶ οὖν τὸ Κ χωρίον τῶν μὲν Ζ, Η, Θ, Ι χωρίων ὑπερέχει ἐλάσσονι τοῦ Ι, τοῦ δὲ τμάματος μείζονι τοῦ Ι, δῆλον, ὡς μείζονά ἐντι τὰ Ζ, Η, Θ, Ι χωρία τοῦ τμάματος· ὅπερ ἀδύνατον· ἐδείχθη γάρ, ὅτι, ἐὰν ᾖ ὁποσαοῦν χωρία ἑξῆς κείμενα ἐν τετραπλασίονι λόγῳ, τὸ δὲ μέγιστον ἴσον ᾖ τῷ εἰς τὸ τμᾶμα ἐγγραφομένῳ τριγώνῳ, τὰ σύμπαντα χωρία ἐλάσσονα ἐσσεῖται τοῦ τμάματος. οὐκ ἄρα τὸ ΑΔΒΕΓ τμᾶμα ἔλασσόν ἐστι τοῦ Κ χωρίου. ἐδείχθη δέ, ὅτι οὐδὲ μεῖζον· ἴσον ἄρα ἐστὶν τῷ Κ. τὸ δὲ Κ χωρίον ἐπίτριτόν ἐστι τοῦ τριγώνου τοῦ ΑΒΓ· καὶ τὸ ΑΔΒΕΓ ἄρα τμᾶμα ἐπίτριτόν ἐστι τοῦ ΑΒΓ τριγώνου.

(*k*) Hydrostatics

(i.) *Postulates*

Archim. *De Corpor. Fluit.* i., Archim. ed. Heiberg ii. 318. 2-8

Ὑποκείσθω τὸ ὑγρὸν φύσιν ἔχον τοιαύταν, ὥστε τῶν μερέων αὐτοῦ τῶν ἐξ ἴσου κειμένων καὶ συν-

[a] The Greek text of the book *On Floating Bodies*, the earliest extant treatise on hydrostatics, first became available in 1906 when Heiberg discovered at Constantinople the MS. which he terms C. Unfortunately many of the readings are doubtful, and those who are interested in the text should consult the Teubner edition. Still more unfortunately, it is incomplete; but, as the whole treatise was translated into Latin in 1269 by William of Moerbeke from a Greek MS.

the excess by which the area K exceeds the segment [Eucl. x. 1], and let I be [the area] less [than this excess]. Now

$$Z + H + \Theta + I + \tfrac{1}{3}I = \tfrac{4}{3}Z. \qquad \text{[Prop. 23}$$

But $$K = \tfrac{4}{3}Z;$$

therefore $$K = Z + H + \Theta + I + \tfrac{1}{3}I.$$

Therefore since the area K exceeds the areas Z, H, Θ, I by an excess less than I, and exceeds the segment by an excess greater than I, it is clear that the areas Z, H, Θ, I are greater than the segment ; which is impossible ; for it was proved that, if there be any number of areas in succession such that each is four times the next, and the greatest be equal to the triangle inscribed in the segment, then the sum of the areas will be less than the segment [Prop. 22]. Therefore the segment AΔBEΓ is not less than the area K. And it was proved not to be greater ; therefore it is equal to K. But the area K is four-thirds of the triangle ABΓ ; and therefore the segment AΔBEΓ is four-thirds of the triangle ABΓ.

(*k*) Hydrostatics

(i.) *Postulates*

Archimedes, *On Floating Bodies* [a] i., Archim. ed. Heiberg ii. 318. 2-8

Let the nature of a fluid be assumed to be such that, of its parts which lie evenly and are continuous,

since lost, it is possible to supply the missing parts in Latin, as is done for part of Prop. 2. From a comparison with the Greek, where it survives, William's translation is seen to be so literal as to be virtually equivalent to the original. In each case Heiberg's figures are taken from William's translation, as they are almost unrecognizable in C ; for convenience in reading the Greek, the figures are given the appropriate Greek letters in this edition.

εχέων ἐόντων ἐξωθεῖσθαι τὸ ἧσσον θλιβόμενον ὑπὸ τοῦ μᾶλλον θλιβομένου, καὶ ἕκαστον δὲ τῶν μερέων αὐτοῦ θλίβεσθαι τῷ ὑπεράνω αὐτοῦ ὑγρῷ κατὰ κάθετον ἐόντι, εἴ κα μὴ τὸ ὑγρὸν ᾖ καθειργμένον ἔν τινι καὶ ὑπὸ ἄλλου τινὸς θλιβόμενον.

Ibid. i., Archim. ed. Heiberg ii. 336. 14-16

Ὑποκείσθω, τῶν ἐν τῷ ὑγρῷ ἄνω φερομένων ἕκαστον ἀναφέρεσθαι κατὰ τὰν κάθετον τὰν διὰ τοῦ κέντρου τοῦ βάρεος αὐτοῦ ἀγμέναν.

(ii.) *Surface of Fluid at Rest*

Ibid. i., Prop. 2, Archim. ed. Heiberg ii. 319. 7–320. 30

Omnis humidi consistentis ita, ut maneat inmotum, superficies habebit figuram sperae habentis centrum idem cum terra.

Intelligatur enim humidum consistens ita, ut maneat non motum, et secetur ipsius superficies plano per centrum terrae, sit autem terrae centrum K, superficiei autem sectio linea ABGD. Dico itaque,



lineam ABGD circuli esse periferiam, centrum autem ipsius K.

Si enim non est, rectae a K ad lineam ABGD that which is under the lesser pressure is driven along by that under the greater pressure, and each of its parts is under pressure from the fluid which is perpendicularly above it, except when the fluid is enclosed in something and is under pressure from something else.

Ibid. i., Archim. ed. Heiberg ii. 336. 14-16

Let it be assumed that, of bodies which are borne upwards in a fluid, each is borne upwards along the perpendicular drawn through its centre of gravity.[a]

(ii.) *Surface of Fluid at Rest*

Ibid. i., Prop. 2,[b] Archim. ed. Heiberg ii. 319. 7–320. 30

The surface of any fluid at rest is the surface of a sphere having the same centre as the earth.

For let there be conceived a fluid at rest, and let its surface be cut by a plane through the centre of the earth, and let the centre of the earth be K, and let the section of the surface be the curve ΑΒΓΔ. Then I say that the curve ΑΒΓΔ is an arc of a circle whose centre is K.

For if it is not, straight lines drawn from K to the

[a] These are the only assumptions, other than the assumptions of Euclidean geometry, made in this book by Archimedes; if the object of mathematics be to base the conclusions on the fewest and most "self-evident" axioms, Archimedes' treatise *On Floating Bodies* must indeed be ranked highly.

[b] The earlier part of this proposition has to be given from William of Moerbeke's translation. The diagram is here given with the appropriate Greek letters.

occurrentes non erunt aequales. Sumatur itaque aliqua recta, quae est quarundam quidem a K occurrentium ad lineam ABGD maior, quarundam autem minor, et centro quidem K, distantia autem sumptae lineae circulus describatur; cadet igitur periferia circuli habens hoc quidem extra lineam ABGD, hoc autem intra, quoniam quae ex centro quarundam quidem a K occurrentium ad lineam ABGD est maior, quarundam autem minor. Sit igitur descripti circuli periferia quae ZBH, et a B ad K recta ducatur, et copulentur quae ZK, KEL aequales facientes angulos, describatur autem et centro K periferia quaedam quae XOP in plano et in humido; partes itaque humidi quae secundum XOP periferiam ex aequo sunt positae et continuae inuicem. Et premuntur quae quidem secundum XO periferiam humido quod secundum ZB locum, quae autem secundum periferiam OP humido quod secundum BE locum; inaequaliter igitur premuntur partes humidi quae secundum periferiam XO ei quae [ᾗ][1] κατὰ τὰν ΟΠ· ὥστε ἐξωθήσονται τὰ ἧσσον θλιβόμενα ὑπὸ τῶν μᾶλλον θλιβομένων· οὐ μένει ἄρα τὸ ὑγρόν. ὑπέκειτο δὲ καθεστακὸς εἶμεν ὥστε μένειν ἀκίνητον· ἀναγκαῖον ἄρα τὰν ΑΒΓΔ γραμμὰν κύκλου περιφέρειαν εἶμεν καὶ κέντρον αὐτᾶς τὸ Κ. ὁμοίως δὴ δειχθήσεται καί, ὅπως κα ἄλλως ἁ ἐπιφάνεια τοῦ ὑγροῦ ἐπιπέδῳ τμαθῇ διὰ τοῦ κέντρου τᾶς γᾶς, ὅτι ἁ τομὰ ἐσσεῖται κύκλου περιφέρεια, καὶ κέντρον αὐτᾶς ἐσσεῖται, ὃ καὶ τᾶς γᾶς ἐστι κέντρον. δῆλον οὖν, ὅτι ἁ ἐπιφάνεια τοῦ ὑγροῦ καθεστακότος ἀκινήτου σφαίρας ἔχει τὸ σχῆμα τὸ αὐτὸ κέντρον ἐχούσας τᾷ γᾷ, ἐπειδὴ

[1] ᾗ om. Heiberg.

curve ΑΒΓΔ will not be equal. Let there be taken, therefore, any straight line which is greater than some of the straight lines drawn from K to the curve ΑΒΓΔ, but less than others, and with centre K and radius equal to the straight line so taken let a circle be described; the circumference of the circle will fall partly outside the curve ΑΒΓΔ, partly inside, inasmuch as its radii are greater than some of the straight lines drawn from K to the curve ΑΒΓΔ, but less than others. Let the arc of the circle so described be ZBH, and from B let a straight line be drawn to K, and let ZK, KEΛ be drawn making equal angles [with KB], and with centre K let there be described, in the plane and in the fluid, an arc ΞΟΠ; then the parts of the fluid along ΞΟΠ lie evenly and are continuous [*v. supra*, p. 243]. And the parts along the arc ΞΟ are under pressure from the portion of the fluid between it and ZB, while the parts along the arc ΟΠ are under pressure from the portion of the fluid between it and BE; therefore the parts of the fluid along ΞΟ and the parts of the fluid along ΟΠ are under unequal pressures; so that the parts under the lesser pressure are thrust along by the parts under the greater pressure [*v. supra*, p. 245]; therefore the fluid will not remain at rest. But it was postulated that the fluid would remain unmoved; therefore the curve ΑΒΓΔ must be an arc of a circle with centre K. Similarly it may be shown that, in whatever other manner the surface be cut by a plane through the centre of the earth, the section is an arc of a circle and its centre will also be the centre of the earth. It is therefore clear that the surface of the fluid remaining at rest has the form of a sphere with the same centre as the earth, since it is such τοιαύτα ἐστίν, ὥστε διὰ τοῦ αὐτοῦ σαμείου τμαθεῖσαν τὰν τομὰν ποιεῖν περιφέρειαν κύκλου κέντρον ἔχοντος τὸ σαμεῖον, δι' οὗ τέμνεται τῷ ἐπιπέδῳ.

(iii.) *Solid immersed in a Fluid*

Ibid. i., Prop. 7, Archim. ed. Heiberg ii. 332. 21–336. 13

Τὰ βαρύτερα τοῦ ὑγροῦ ἀφεθέντα εἰς τὸ ὑγρὸν οἰσεῖται κάτω, ἔστ' ἂν καταβᾶντι, καὶ ἐσσοῦνται κουφότερα ἐν τῷ ὑγρῷ τοσοῦτον, ὅσον ἔχει τὸ βάρος τοῦ ὑγροῦ τοῦ ταλικοῦτον ὄγκον ἔχοντος, ἁλίκος ἐστὶν ὁ τοῦ στερεοῦ μεγέθεος ὄγκος.

Ὅτι μὲν οὖν οἰσεῖται ἐς τὸ κάτω, ἔστ' ἂν καταβᾶντι, δῆλον· τὰ γὰρ ὑποκάτω αὐτοῦ μέρεα τοῦ ὑγροῦ θλιβησοῦνται μᾶλλον τῶν ἐξ ἴσου αὐτοῖς κειμένων μερέων, ἐπειδὴ βαρύτερον ὑπόκειται τὸ στερεὸν μέγεθος τοῦ ὑγροῦ· ὅτι δὲ κουφότερα ἐσσοῦνται, ὡς εἴρηται, δειχθήσεται.

Ἔστω τι μέγεθος τὸ Α, ὅ ἐστι βαρύτερον τοῦ ὑγροῦ, βάρος δὲ ἔστω τοῦ μὲν ἐν ᾧ Α μεγέθεος τὸ ΒΓ, τοῦ δὲ ὑγροῦ τοῦ ἴσον ὄγκον ἔχοντος τῷ Α τὸ Β. δεικτέον, ὅτι τὸ Α μέγεθος ἐν τῷ ὑγρῷ ἐὸν βάρος ἕξει ἴσον τῷ Γ.

Λελάφθω γάρ τι μέγεθος τὸ ἐν ᾧ τὸ Δ κουφότερον τοῦ ὑγροῦ τοῦ ἴσον ὄγκον ἔχοντος αὐτῷ, ἔστω δὲ τοῦ μὲν ἐν ᾧ τὸ Δ μεγέθεος βάρος ἴσον τῷ Β βάρει, τοῦ δὲ ὑγροῦ τοῦ ἴσον ὄγκον ἔχοντος τῷ Δ μεγέθει τὸ βάρος ἔστω ἴσον τῷ ΒΓ βάρει.

---

[a] Or, as we should say, "lighter by the weight of fluid displaced."

that, when it is cut [by a plane] always passing through the same point, the section is an arc of a circle having for centre the point through which it is cut by the plane [Prop. 1].

(iii.) *Solid immersed in a Fluid*

Ibid. i., Prop. 7, Archim. ed. Heiberg ii. 332. 21–336. 13

Solids heavier than a fluid will, if placed in the fluid, sink to the bottom, and they will be lighter [if weighed] in the fluid by the weight of a volume of the fluid equal to the volume of the solid.[a]

That they will sink to the bottom is manifest ; for the parts of the fluid under them are under greater pressure than the parts lying evenly with them, since it is postulated that the solid is heavier than water ; that they will be lighter, as aforesaid will be [thus] proved.

Let A be any magnitude heavier than the fluid, let the weight of the magnitude A be Β + Γ, and let the weight of fluid having the same volume as A be B. It is required to prove that in the fluid the magnitude A will have a weight equal to Γ.



For let there be taken any magnitude Δ lighter than the same volume of the fluid such that the weight of the magnitude Δ is equal to the weight B, while the weight of the fluid having the same volume as the magnitude Δ is equal to the weight Β + Γ.

συντεθέντων δὴ ἐς τὸ αὐτὸ τῶν μεγεθέων, ἐν οἷς τὰ Α, Δ, *τὸ τῶν συναμφοτέρων μέγεθος ἰσοβαρὲς ἐσσεῖται τῷ ὑγρῷ· ἔστι γὰρ τῶν μεγεθέων συναμφοτέρων τὸ βάρος ἴσον συναμφοτέροις τοῖς βάρεσιν τῷ τε* ΒΓ *καὶ τῷ* Β, *τοῦ δὲ ὑγροῦ τοῦ ἴσον ὄγκον ἔχοντος ἀμφοτέροις τοῖς μεγέθεσι τὸ βάρος ἴσον ἐστὶ τοῖς αὐτοῖς βάρεσιν. ἀφεθέντων οὖν τῶν μεγεθέων ἐς τὸ ὑγρὸν ἰσορροπησοῦνται τῷ ὑγρῷ καὶ οὔτε εἰς τὸ ἄνω οἰσοῦνται οὔτε εἰς τὸ κάτω· διὸ τὸ μὲν ἐν ᾧ* Α *μέγεθος οἰσεῖται ἐς τὸ κάτω καὶ τοσαύτᾳ βίᾳ ὑπὸ τοῦ ἐν ᾧ* Δ *μεγέθεος ἀνέλκεται ἐς τὸ ἄνω, τὸ δὲ ἐν ᾧ* Δ *μέγεθος, ἐπεὶ κουφότερόν ἐστι τοῦ ὑγροῦ, ἀνοισεῖται εἰς τὸ ἄνω τοσαύτα βίᾳ, ὅσον ἐστὶ τὸ* Γ *βάρος· δέδεικται γάρ, ὅτι τὰ κουφότερα τοῦ ὑγροῦ μεγέθεα στερεὰ βιασθέντα ἐς τὸ ὑγρὸν ἀναφέρονται τοσαύτᾳ βίᾳ ἐς τὸ ἄνω, ὅσον ἐστὶ τὸ βάρος, ᾧ βαρύτερόν ἐστι τοῦ μεγέθεος τὸ ὑγρὸν τὸ ἴσογκον τῷ μεγέθει. ἔστι δὲ τῷ* Γ *βάρει βαρύτερον τοῦ* Δ *μεγέθεος τὸ ὑγρὸν τὸ ἴσον ὄγκον ἔχον τῷ* Δ· *δῆλον οὖν, ὅτι καὶ τὸ ἐν ᾧ* Α *μέγεθος ἐς τὸ κάτω οἰσεῖται τοσούτῳ βάρει, ὅσον ἐστὶ τὸ* Γ.

[a] This proposition suggests a method, alternative to that given by Vitruvius (*v. supra*, pp. 36-39, especially p. 38 n. *a*), whereby Archimedes may have discovered the proportions of gold and silver in King Hiero's crown.

Let w be the weight of the crown, and let w_1 and w_2 be the weights of gold and silver in it respectively, so that $w = w_1 + w_2$.

Take a weight w of gold and weigh it in a fluid, and let the loss of weight be P_1. Then the loss of weight when a weight w_1 of gold is weighed in the fluid, and consequently the weight of fluid displaced, will be $\frac{w_1}{w} . P_1$.

Then if we combine the magnitudes A, Δ, the combined magnitude will be equal to the weight of the same volume of the fluid ; for the weight of the combined magnitudes is equal to the weight (B + Γ) ‒ B, while the weight of the fluid having the same volume as both the magnitudes is equal to the same weight. Therefore, if the [combined] magnitudes are placed in the fluid, they will balance the fluid, and will move neither upwards nor downwards [Prop. 3] ; for this reason the magnitude A will move downwards, and will be subject to the same force as that by which the magnitude Δ is thrust upwards, and since Δ is lighter than the fluid it will be thrust upwards by a force equal to the weight Γ ; for it has been proved that when solid magnitudes lighter than the fluid are forcibly immersed in the fluid, they will be thrust upwards by a force equal to the difference in weight between the magnitude and an equal volume of the fluid [Prop. 6]. But the fluid having the same volume as Δ is heavier than the magnitude Δ by the weight Γ ; it is therefore plain that the magnitude A will be borne upwards by a force equal to Γ.[a]

Now take a weight w of silver and weigh it in the fluid, and let the loss of weight be P_2. Then the loss of weight when a weight w_2 of silver is weighed in the fluid, and consequently the weight of fluid displaced, will be $\frac{w_2}{w} \cdot P_2$.

Finally, weigh the crown itself in the fluid, and let the loss of weight, and consequently the weight of fluid displaced, be P.

It follows that $$\frac{w_1}{w} \cdot P_1 + \frac{w_2}{w} \cdot P_2 = P,$$

whence $$\frac{w_1}{w_2} = \frac{P_2 - P}{P - P_1}.$$

(iv.) *Stability of a Paraboloid of Revolution*

Ibid. ii., Prop. 2, Archim. ed. Heiberg ii. 348. 10–352. 19

Τὸ ὀρθὸν τμᾶμα τοῦ ὀρθογωνίου κωνοειδέος, ὅταν τὸν ἄξονα ἔχῃ μὴ μείζονα ἢ ἡμιόλιον τᾶς μέχρι τοῦ ἄξονος, πάντα λόγον ἔχον ποτὶ τὸ ὑγρὸν τῷ βάρει, ἀφεθὲν εἰς τὸ ὑγρὸν οὕτως, ὥστε τὰν βάσιν αὐτοῦ μὴ ἅπτεσθαι τοῦ ὑγροῦ, τεθὲν κεκλιμένον οὐ μενεῖ κεκλιμένον, ἀλλὰ ἀποκατασταθεῖται ὀρθόν. ὀρθὸν δὲ λέγω καθεστακέναι τὸ τοιοῦτο τμᾶμα, ὁπόταν τὸ ἀποτετμακὸς αὐτὸ ἐπίπεδον παρὰ τὰν ἐπιφάνειαν ᾖ τοῦ ὑγροῦ.

Ἔστω τμᾶμα ὀρθογωνίου κωνοειδέος, οἷον εἴρηται, καὶ κείσθω κεκλιμένον. δεικτέον, ὅτι οὐ μενεῖ, ἀλλ' ἀποκατασταθεῖται ὀρθόν.

Τμαθέντος δὴ αὐτοῦ ἐπιπέδῳ διὰ τοῦ ἄξονος ὀρθῷ ποτὶ τὸ ἐπίπεδον τὸ ἐπὶ τᾶς ἐπιφανείας τοῦ ὑγροῦ τμάματος ἔστω τομὰ ἁ ΑΠΟΛ ὀρθογωνίου κώνου τομά, ἄξων δὲ τοῦ τμάματος καὶ διάμετρος τᾶς τομᾶς ἁ ΝΟ, τᾶς δὲ τοῦ ὑγροῦ ἐπιφανείας τομὰ ἁ ΙΣ. ἐπεὶ οὖν τὸ τμᾶμα οὐκ ἐστὶν ὀρθόν, οὐκ ἂν εἴη παράλληλος ἁ ΑΛ τᾷ ΙΣ· ὥστε οὐ ποιήσει ὀρθὰν γωνίαν ἁ ΝΟ ποτὶ τὰν ΙΣ. ἄχθω

---

[a] Writing of the treatise *On Floating Bodies*, Heath (*H.G.M.* ii. 94-95) justly says : " Book ii., which investigates fully the conditions of stability of a right segment of a paraboloid of revolution floating in a fluid for different values of the specific gravity and different ratios between the axis or height of the segment and the principal parameter of the generating parabola, is a veritable *tour de force* which must be read in full to be appreciated."

[b] In this technical term the " axis " is the axis of the

(iv.) *Stability of a Paraboloid of Revolution* [a]

Ibid. ii., Prop. 2, Archim. ed. Heiberg ii. 348. 10–352. 19

If there be a right segment of a right-angled conoid, whose axis is not greater than one-and-a-half times the line drawn as far as the axis,[b] *and whose weight relative to the fluid may have any ratio, and if it be placed in the fluid in an inclined position in such a manner that its base do not touch the fluid, it will not remain inclined but will return to the upright position.* I mean by returning to the upright position the figure formed when the plane cutting off the segment is parallel to the surface of the fluid.

Let there be a segment of a right-angled conoid, such as has been stated, and let it be placed in an inclined position. It is required to prove that it will not remain there but will return to the upright position.

Let the segment be cut by a plane through the axis perpendicular to the plane which forms the surface of the fluid, and let ΑΠΟΛ be the section of the segment, being a section of a right-angled cone [*De Con. et Sphaer.* 11], and let ΝΟ be the axis of the segment and the axis of the section, and let ΙΣ be the section of the surface of the liquid. Then since the segment is not upright, ΑΛ will not be parallel to ΙΣ; and therefore ΝΟ will not make a right angle

right-angled cone from which the generating parabola is derived. The *latus rectum* is " the line which is double of the line drawn as far as the axis " (ἁ διπλασία τᾶς μέχρι τοῦ ἄξονος); and so the condition laid down by Archimedes is that the axis of the segment of the paraboloid of revolution shall not be greater than three-quarters of the *latus rectum* or *principal parameter* of the generating parabola.

οὖν παράλληλος ἁ ἐφαπτομένα ἁ ΚΩ *τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ* Π, *καὶ ἀπὸ τοῦ* Π *παρὰ τὰν*



ΝΟ *ἄχθω ἁ* ΠΦ· *τέμνει δὴ ἁ* ΠΦ *δίχα τὰν* ΙΣ· *δέδεικται γὰρ ἐν τοῖς κωνικοῖς. τετμάσθω ἁ* ΠΦ, *ὥστε εἶμεν διπλασίαν τὰν* ΠΒ *τᾶς* ΒΦ, *καὶ ἁ* ΝΟ *κατὰ τὸ* Ρ *τετμάσθω, ὥστε καὶ τὰν* ΟΡ *τᾶς* ΡΝ *διπλασίαν εἶμεν· ἐσσεῖται δὴ τοῦ μείζονος ἀποτμάματος τοῦ στερεοῦ κέντρον τοῦ βάρεος τὸ* Ρ, *τοῦ δὲ κατὰ τὰν* ΙΠΟΣ *τὸ* Β· *δέδεικται γὰρ ἐν ταῖς Ἰσορροπίαις, ὅτι παντὸς ὀρθογωνίου κωνοειδέος τμάματος τὸ κέντρον τοῦ βάρεός ἐστιν ἐπὶ τοῦ ἄξονος διῃρημένου οὕτως, ὥστε τὸ ποτὶ τᾷ κορυφᾷ τοῦ ἄξονος τμᾶμα διπλάσιον εἶμεν τοῦ λοιποῦ. ἀφαιρεθέντος δὴ τοῦ κατὰ τὰν* ΙΠΟΣ *τμάματος στερεοῦ ἀπὸ τοῦ ὅλου τοῦ λοιποῦ κέντρον ἐσσεῖται τοῦ βάρεος ἐπὶ τᾶς* ΒΓ *εὐθείας· δέδεικται γὰρ τοῦτο ἐν τοῖς Στοιχείοις τῶν μηχανικῶν, ὅτι, εἴ κα μέγεθος ἀφαιρεθῇ μὴ τὸ αὐτὸ κέντρον ἔχον τοῦ βάρεος τῷ ὅλῳ μεγέθει, τοῦ λοιποῦ τὸ κέντρον ἐσσεῖται τοῦ βάρεος ἐπὶ τᾶς εὐθείας τᾶς ἐπιζευγνυούσας τὰ κέντρα τοῦ τε ὅλου μεγέθεος καὶ τοῦ* with IΣ. Therefore let KΩ be drawn parallel [to IΣ] and touching the section of the cone at Π, and from Π let ΠΦ be drawn parallel to NO ; then ΠΦ bisects IΣ—for this is proved in the [*Elements of*] *Conics.*[a] Let ΠΦ be cut so that ΠB = 2BΦ, and let NO be cut at P so that OP = 2PN ; then P will be the centre of gravity of the greater segment of the solid, and B that of IΠOΣ ; for it is proved in the books *On Equilibriums* that the centre of gravity of any segment of a right-angled conoid is at the point dividing the axis in such a manner that the segment towards the vertex of the axis is double of the remainder.[b] Now if the solid segment IΠOΣ be taken away from the whole, the centre of gravity of the remainder will lie upon the straight line BΓ ; for it has been proved in the *Elements of Mechanics* that if any magnitude be taken away not having the same centre of gravity as the whole magnitude, the centre of gravity of the remainder will be on the straight line joining the centres [of gravity] of the whole magnitude and of the part

[a] Presumably in the works of Aristaeus or Euclid, but it is also *Quad. Parab.* 1.

[b] The proof is not in any extant work by Archimedes.

ἀφηρημένου ἐκβεβλημένας ἐπὶ τὰ αὐτά, ἐφ' ἃ τὸ κέντρον τοῦ ὅλου μεγέθεός ἐστιν. ἐκβεβλήσθω δὴ ἁ ΒΡ ἐπὶ τὸ Γ, καὶ ἔστω τὸ Γ τὸ κέντρον τοῦ βάρεος τοῦ λοιποῦ μεγέθεος. ἐπεὶ οὖν ἁ ΝΟ τᾶς μὲν ΟΡ ἡμιολία, τᾶς δὲ μέχρι τοῦ ἄξονος οὐ μείζων ἢ ἡμιολία, δῆλον, ὅτι ἁ ΡΟ τᾶς μέχρι τοῦ ἄξονος οὐκ ἐστὶ μείζων· ἡ ΠΡ ἄρα ποτὶ τὰν ΚΩ γωνίας ἀνίσους ποιεῖ, καὶ ἁ ὑπὸ τῶν ΡΠΩ γίνεται ὀξεῖα· ἁ ἀπὸ τοῦ Ρ ἄρα κάθετος ἐπὶ τὰν ΠΩ ἀγομένα μεταξὺ πεσεῖται τῶν Π, Ω. πιπτέτω ὡς ἁ ΡΘ· ἁ ΡΘ ἄρα ὀρθά ἐστιν ποτὶ τὸ ⟨ἀποτετμακὸς⟩[1] ἐπίπεδον, ἐν ᾧ ἐστιν ἁ ΣΙ, ὅ ἐστιν ἐπὶ τᾶς ἐπιφανείας τοῦ ὑγροῦ. ἄχθωσαν δή τινες ἀπὸ τῶν Β, Γ παρὰ τὰν ΡΘ· ἐνεχθήσεται δὴ τὸ μὲν ἐκτὸς τοῦ ὑγροῦ τοῦ μεγέθεος εἰς τὸ κάτω κατὰ τὰν διὰ τοῦ Γ ἀγομέναν κάθετον· ὑπόκειται γὰρ ἕκαστον τῶν βαρέων εἰς τὸ κάτω φέρεσθαι κατὰ τὰν κάθετον τὰν διὰ τοῦ κέντρου ἀγομέναν· τὸ δὲ ἐν τῷ ὑγρῷ μέγεθος, ἐπεὶ κουφότερον γίνεται τοῦ ὑγροῦ, ἐνεχθήσεται εἰς τὸ ἄνω κατὰ τὰν κάθετον τὰν διὰ τοῦ Β ἀγομέναν. ἐπεὶ δὲ οὐ κατὰ τὰν αὐτὰν κάθετον ἀλλάλοις ἀντιθλίβονται, οὐ μενεῖ τὸ σχῆμα, ἀλλὰ τὰ μὲν κατὰ τὸ Α εἰς τὸ ἄνω ἐνεχθήσεται, τὰ δὲ κατὰ τὸ Λ εἰς τὸ κάτω, καὶ τοῦτο ἀεὶ ἐσσεῖται, ἕως ἂν ὀρθὸν ἀποκατασταθῇ.

[1] ἀποτετμακός, *cf. supra*, p. 252 line 8; Heiberg prints . . . . κ . . ος.

---

[a] If the normal at Π meets the axis in M, then OM is greater than "the line drawn as far as the axis" except in the case where Π coincides with the vertex, which case is excluded by the conditions of this proposition. Hence OM is always greater than OP; and because the angle ΩΠM is right, the angle ΩΠP must be acute.

taken away, produced from the extremity which is the centre of gravity of the whole magnitude [*De Plan. Aequil.* i. 8]. Let BP then be produced to Γ, and let Γ be the centre of gravity of the remaining magnitude. Then, since $NO = \frac{3}{2} \cdot OP$, and $NO \ngtr \frac{3}{2} \cdot$ (the line drawn as far as the axis), it is clear that $PO \ngtr$ (the line drawn as far as the axis); therefore ΠP makes unequal angles with KΩ, and the angle PΠΩ is acute[a]; therefore the perpendicular drawn from P to ΠΩ will fall between Π, Ω. Let it fall as PΘ; then PΘ is perpendicular to the cutting plane containing ΣI, which is on the surface of the fluid. Now let lines be drawn from B, Γ parallel to PΘ; then the portion of the magnitude outside the fluid will be subject to a downward force along the line drawn through Γ—for it is postulated that each weight is subject to a downward force along the perpendicular drawn through its centre of gravity[b]; and since the magnitude in the fluid is lighter than the fluid,[c] it will be subject to an upward force along the perpendicular drawn through B.[d] But, since they are not subject to contrary forces along the same perpendicular, the figure will not remain at rest but the portion on the side of A will move upwards and the portion on the side of Λ will move downwards, and this will go on continually until it is restored to the upright position.

[b] *Cf. supra*, p. 245; possibly a similar assumption to this effect has fallen out of the text.

[c] A tacit assumption, which limits the generality of the opening statement of the proposition that the segment may have any weight relative to the fluid.

[d] *v. supra*, p. 251.

XVIII. ERATOSTHENES

XVIII. ERATOSTHENES

(a) General

Suidas, *s.v.* Ἐρατοσθένης

Ἐρατοσθένης, Ἀγλαοῦ, οἱ δὲ Ἀμβροσίου· Κυρηναῖος, μαθητὴς φιλοσόφου Ἀρίστωνος Χίου, γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου καὶ Καλλιμάχου τοῦ ποιητοῦ. μετεπέμφθη δὲ ἐξ Ἀθηνῶν ὑπὸ τοῦ τρίτου Πτολεμαίου καὶ διέτριψε μέχρι τοῦ πέμπτου. διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίσαντα[1] Βῆτα[2] ἐπεκλήθη. οἱ δὲ καὶ δεύτερον ἢ νέον Πλάτωνα, ἄλλοι Πένταθλον ἐκάλεσαν. ἐτέχθη δὲ ρκϛʹ Ὀλυμ-

[1] ἐγγίσαντα Meursius, ἐγγίσασι Adler.
[2] Βῆτα Gloss. in Psalmos, Hesych. Mil., τὰ βήματα codd.

[a] Several of Eratosthenes' achievements have already been described—his solution of the Delian problem (vol. i. pp. 290-297), and his *sieve* for finding successive odd numbers (vol. i. pp. 100-103). Archimedes, as we have seen, dedicated the *Method* to him, and the *Cattle Problem*, as we have also seen, is said to have been sent through him to the Alexandrian mathematicians. It is generally supposed that Ptolemy credits him with having calculated the distance between the tropics (or twice the obliquity of the ecliptic) at 11/83rds. of a complete circle or 47° 29′ 39″, but Ptolemy's meaning is not clear. Eratosthenes also calculated the distances of the sun and moon from the earth and the size of the sun. Fragments of an astronomical poem which he wrote under the title

XVIII. ERATOSTHENES [a]

(a) General

Suidas, *s.v. Eratosthenes*

Eratosthenes, son of Aglaus, others say of Ambrosius; a Cyrenean, a pupil of the philosopher Ariston of Chios, of the grammarian Lysanias of Cyrene and of the poet Callimachus [b]; he was sent for from Athens by the third Ptolemy [c] and stayed till the fifth.[d] Owing to taking second place in all branches of learning, though approaching the highest excellence, he was called *Beta*. Others called him a *Second* or *New Plato*, and yet others *Pentathlon*. He was born in the 126th Olympiad [e] and died at the age

Hermes have survived. He was the first person to attempt a scientific chronology from the siege of Troy in two separate works, and he wrote a geographical work in three books. His writings are critically discussed in Bernhardy's *Eratosthenica* (Berlin, 1822).

[b] Callimachus, the famous poet and grammarian, was also a Cyrenean. He opened a school in the suburbs of Alexandria and was appointed by Ptolemy Philadelphus chief librarian of the Alexandrian library, a post which he held till his death *c.* 240 B.C. Eratosthenes later held the same post.

[c] Euergetes I (reigned 246–221 B.C.), who sent for him to be tutor to his son and successor Philopator (*v.* vol. i. pp. 256, 296).

[d] Epiphanes (reigned 204–181 B.C.). [e] 276-273 B.C.

πιάδι καὶ ἐτελεύτησεν π̄ ἐτῶν γεγονώς, ἀποσχόμενος τροφῆς διὰ τὸ ἀμβλυώττειν, μαθητὴν ἐπίσημον καταλιπὼν Ἀριστοφάνην τὸν Βυζάντιον· οὗ πάλιν Ἀρίσταρχος μαθητής. μαθηταὶ δὲ αὐτοῦ Μνασέας καὶ Μένανδρος καὶ Ἄριστις. ἔγραψε δὲ φιλόσοφα καὶ ποιήματα καὶ ἱστορίας, Ἀστρονομίαν ἢ Καταστερισμούς,[1] Περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, Περὶ ἀλυπίας, διαλόγους πολλοὺς καὶ γραμματικὰ συχνά.

(b) On Means

Papp. *Coll.* vii. 3, ed. Hultsch 636. 18-25

Τῶν δὲ προειρημένων τοῦ Ἀναλυομένου βιβλίων ἡ τάξις ἐστὶν τοιαύτη . . . Ἐρατοσθένους περὶ μεσοτήτων δύο.

Papp. *Coll.* vii. 21, ed. Hultsch 660. 18–662. 18

Τῶν τόπων καθόλου οἱ μέν εἰσιν ἐφεκτικοί, ὡς καὶ Ἀπολλώνιος πρὸ τῶν ἰδίων στοιχείων λέγει σημείου μὲν τόπον σημεῖον, γραμμῆς δὲ τόπον γραμμήν, ἐπιφανείας δὲ ἐπιφάνειαν, στερεοῦ δὲ στερεόν, οἱ δὲ διεξοδικοί, ὡς σημείου μὲν γραμμήν, γραμμῆς δ' ἐπιφάνειαν, ἐπιφανείας δὲ στερεόν,

[1] Καταστερισμούς coni. Portus, Καταστηρίγμους codd.

---

[a] Not, of course, Aristarchus of Samos, the mathematician, but the celebrated Samothracian grammarian.

[b] Mnaseas was the author of a work entitled Περίπλους, whose three sections dealt with Europe, Asia and Africa, and a collection of oracles given at Delphi.

[c] This work is extant, but is not thought to be genuine in

And it is clear that there can be cut off from the ἀπολήψεταί τις ἀπὸ τῆς ΖΘ εὐθείας πρὸς τῷ Ζ σημείῳ. ἐὰν γὰρ τῇ δοθείσῃ ἴσην θῶμεν τὴν ΖΞ καὶ διὰ τοῦ Ξ τῇ ΔΕ παράλληλον ἀγάγωμεν, συμπεσεῖται τῇ τομῇ, ὥσπερ καὶ ἡ διὰ τοῦ Θ ἀπεδείχθη συμπίπτουσα τῇ τομῇ κατὰ τὰ Μ, Ν σημεῖα· ὥστε ἄγεταί τις εὐθεῖα συμπίπτουσα τῇ τομῇ παράλληλος οὖσα τῇ ΔΕ ἀπολαμβάνουσα ἀπὸ τῆς ΖΗ εὐθεῖαν ἴσην τῇ δοθείσῃ πρὸς τῷ Ζ σημείῳ.

θ′

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παρὰ τὴν βάσιν ἠγμένῳ μήτε ὑπεναντίως, ἡ τομὴ οὐκ ἔσται κύκλος.

Ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον,



βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ τινὶ μήτε παραλλήλῳ ὄντι τῇ βάσει μήτε ὑπ-straight line ZΘ in the direction of the point Z an intercept equal to any given straight line. For if we place ZΞ equal to the given straight line and through Ξ draw a parallel to ΔE, it will meet the section, just as the parallel through Θ was shown to meet the section at the points M, N; therefore a straight line parallel to ΔE has been drawn to meet the section so as to cut off from ZH in the direction of the point Z an intercept equal to the given straight line.

Prop. 9

If a cone be cut by a plane meeting either side of the axial triangle, but neither parallel to the base nor subcontrary,[a] *the section will not be a circle.*

Let there be a cone whose vertex is the point A and base the circle BΓ, and let it be cut by a plane neither parallel to the base nor subcontrary, and let

[a] In the figure of this theorem, the section of the cone by the plane ΔE would be a *subcontrary section* (ὑπεναντία τομή) if the triangle AΔE were similar to the triangle ABΓ, but in a contrary sense, *i.e.*, if angle AΔE = angle AΓB. Apollonius proves in i. 5 that subcontrary sections of the cone are circles; it was proved in i. 4 that all sections parallel to the base are circles.

εναντίως, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΔΚΕ γραμμήν. λέγω, ὅτι ἡ ΔΚΕ γραμμὴ οὐκ ἔσται κύκλος.

Εἰ γὰρ δυνατόν, ἔστω, καὶ συμπιπτέτω τὸ τέμνον ἐπίπεδον τῇ βάσει, καὶ ἔστω τῶν ἐπιπέδων κοινὴ τομὴ ἡ ΖΗ, τὸ δὲ κέντρον τοῦ ΒΓ κύκλου ἔστω τὸ Θ, καὶ ἀπ' αὐτοῦ κάθετος ἤχθω ἐπὶ τὴν ΖΗ ἡ ΘΗ, καὶ ἐκβεβλήσθω διὰ τῆς ΗΘ καὶ τοῦ ἄξονος ἐπίπεδον καὶ ποιείτω τομὰς ἐν τῇ κωνικῇ ἐπιφανείᾳ τὰς ΒΑ, ΑΓ εὐθείας. ἐπεὶ οὖν τὰ Δ, Ε, Η σημεῖα ἔν τε τῷ διὰ τῆς ΔΚΕ ἐπιπέδῳ ἐστίν, ἔστι δὲ καὶ ἐν τῷ διὰ τῶν Α, Β, Γ, τὰ ἄρα Δ, Ε, Η σημεῖα ἐπὶ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων ἐστίν· εὐθεῖα ἄρα ἐστὶν ἡ ΗΕΔ. εἰλήφθω δή τι ἐπὶ τῆς ΔΚΕ γραμμῆς σημεῖον τὸ Κ, καὶ διὰ τοῦ Κ τῇ ΖΗ παράλληλος ἤχθω ἡ ΚΛ· ἔσται δὴ ἴση ἡ ΚΜ τῇ ΜΛ. ἡ ἄρα ΔΕ διάμετρός ἐστι τοῦ ΔΚΛΕ κύκλου. ἤχθω δὴ διὰ τοῦ Μ τῇ ΒΓ παράλληλος ἡ ΝΜΞ· ἔστι δὲ καὶ ἡ ΚΛ τῇ ΖΗ παράλληλος· ὥστε τὸ διὰ τῶν ΝΞ, ΚΜ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΖΗ, τουτέστι τῇ βάσει, καὶ ἔσται ἡ τομὴ κύκλος. ἔστω ὁ ΝΚΞ. καὶ ἐπεὶ ἡ ΖΗ τῇ ΒΗ πρὸς ὀρθάς ἐστι, καὶ ἡ ΚΜ τῇ ΝΞ πρὸς ὀρθάς ἐστιν· ὥστε τὸ ὑπὸ τῶν ΝΜΞ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΚΜ. ἔστι δὲ τὸ ὑπὸ τῶν ΔΜΕ ἴσον τῷ ἀπὸ τῆς ΚΜ· κύκλος γὰρ ὑπόκειται ἡ ΔΚΕΛ γραμμή, καὶ διάμετρος αὐτοῦ ἡ ΔΕ. τὸ ἄρα ὑπὸ τῶν ΝΜΞ ἴσον ἐστὶ τῷ ὑπὸ ΔΜΕ. ἔστιν ἄρα ὡς ἡ ΜΝ πρὸς ΜΔ, οὕτως ἡ ΕΜ πρὸς ΜΞ. ὅμοιον ἄρα ἐστὶ τὸ ΔΜΝ τρίγωνον τῷ ΞΜΕ τριγώνῳ, καὶ ἡ ὑπὸ ΔΝΜ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΜΕΞ. ἀλλὰ the section so made on the surface be the curve ΔKE. I say that the curve ΔKE will not be a circle.

For, if possible, let it be, and let the cutting plane meet the base, and let the common section of the planes be ZH, and let the centre of the circle BΓ be Θ, and from it let ΘH be drawn perpendicular to ZH, and let the plane through HΘ and the axis be produced, and let the sections made on the conical surface be the straight lines BA, AΓ. Then since the points Δ, E, H are in the plane through ΔKE, and are also in the plane through A, B, Γ, therefore the points Δ, E, H are on the common section of the planes; therefore HEΔ is a straight line [Eucl. xi. 3]. Now let there be taken any point K on the curve ΔKE, and through K let KΛ be drawn parallel to ZH; then KM will be equal to MΛ [Prop. 7]. Therefore ΔE is a diameter of the circle ΔKEΛ [Prop. 7, coroll.]. Now let NMΞ be drawn through M parallel to BΓ; but KΛ is parallel to ZH; therefore the plane through NΞ, KM is parallel to the plane through BΓ, ZH [Eucl. xi. 15], that is to the base, and the section will be a circle [Prop. 4]. Let it be NKΞ. And since ZH is perpendicular to BH, KM is also perpendicular to NΞ [Eucl. xi. 10]; therefore NM . MΞ = KM^2. But ΔM . ME = KM^2; for the curve ΔKEΛ is by hypothesis a circle, and ΔE is a diameter in it. Therefore NM . MΞ = ΔM . ME. Therefore MN : MΔ = EM : MΞ. Therefore the triangle ΔMN is similar to the triangle ΞME, and the angle ΔNM is equal to the angle MEΞ.

ἡ ὑπὸ ΔΝΜ γωνία τῇ ὑπὸ ΑΒΓ ἐστιν ἴση· παράλληλος γὰρ ἡ ΝΞ τῇ ΒΓ· καὶ ἡ ὑπὸ ΑΒΓ ἄρα ἴση ἐστὶ τῇ ὑπὸ ΜΕΞ. ὑπεναντία ἄρα ἐστὶν ἡ τομή· ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα κύκλος ἐστὶν ἡ ΔΚΕ γραμμή.

(v.) *Fundamental Properties*

Ibid., Props. 11-14, Apoll. Perg. ed. Heiberg i. 36. 26–58. 7

ια′

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἔτι δὲ ἡ διάμετρος τῆς τομῆς παράλληλος ᾖ μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἥτις ἂν ἀπὸ τῆς τομῆς τοῦ κώνου παράλληλος ἀχθῇ τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς βάσεως τοῦ κώνου μέχρι τῆς διαμέτρου τῆς τομῆς, δυνήσεται τὸ περιεχόμενον ὑπό τε τῆς ἀπολαμβανομένης ὑπ' αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς καὶ ἄλλης τινὸς εὐθείας, ἣ λόγον ἔχει πρὸς τὴν μεταξὺ τῆς τοῦ κώνου γωνίας καὶ τῆς κορυφῆς τῆς τομῆς, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς βάσεως τοῦ διὰ τοῦ ἄξονος τριγώνου πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν· καλείσθω δὲ ἡ τοιαύτη τομὴ παραβολή.

Ἔστω κῶνος, οὗ τὸ Α σημεῖον κορυφή, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν τὴν ΔΕ πρὸς ὀρθὰς

But the angle ΔNM is equal to the angle ABΓ; for NΞ is parallel to BΓ; and therefore the angle ABΓ is equal to the angle MEΞ. Therefore the section is subcontrary [Prop. 5]; which is contrary to hypothesis. Therefore the curve ΔKE is not a circle.

(v.) *Fundamental Properties*

Ibid., Props. 11-14, Apoll. Perg. ed. Heiberg i. 36. 26–58. 7

Prop. 11

Let a cone be cut by a plane through the axis, and let it be also cut by another plane cutting the base of the cone in a straight line perpendicular to the base of the axial triangle, and further let the diameter of the section be parallel to one side of the axial triangle; then if any straight line be drawn from the section of the cone parallel to the common section of the cutting plane and the base of the cone as far as the diameter of the section, its square will be equal to the rectangle bounded by the intercept made by it on the diameter in the direction of the vertex of the section and a certain other straight line; this straight line will bear the same ratio to the intercept between the angle of the cone and the vertex of the segment as the square on the base of the axial triangle bears to the rectangle bounded by the remaining two sides of the triangle; and let such a section be called a parabola.

For let there be a cone whose vertex is the point A and whose base is the circle BΓ, and let it be cut by a plane through the axis, and let the section so made be the triangle ABΓ, and let it be cut by another plane cutting the base of the cone in the straight line *οὖσαν τῇ* ΒΓ, *καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν* ΔΖΕ, *ἡ δὲ διάμετρος τῆς τομῆς ἡ* ΖΗ *παράλληλος ἔστω μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου τῇ* ΑΓ, *καὶ ἀπὸ τοῦ* Ζ *σημείου τῇ* ΖΗ *εὐθείᾳ πρὸς ὀρθὰς ἤχθω ἡ* ΖΘ, *καὶ πεποιήσθω, ὡς τὸ ἀπὸ* ΒΓ *πρὸς τὸ ὑπὸ* ΒΑΓ, *οὕτως ἡ* ΖΘ *πρὸς* ΖΑ, *καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τυχὸν τὸ* Κ, *καὶ διὰ τοῦ* Κ *τῇ* ΔΕ *παράλληλος ἡ* ΚΛ. *λέγω, ὅτι τὸ ἀπὸ τῆς* ΚΛ *ἴσον ἐστὶ τῷ ὑπὸ τῶν* ΘΖΛ.

Ἤχθω γὰρ διὰ τοῦ Λ *τῇ* ΒΓ *παράλληλος ἡ* ΜΝ· *ἔστι δὲ καὶ ἡ* ΚΛ *τῇ* ΔΕ *παράλληλος· τὸ ἄρα διὰ τῶν* ΚΛ, ΜΝ *ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν* ΒΓ, ΔΕ *ἐπιπέδῳ, τουτέστι τῇ βάσει τοῦ κώνου. τὸ ἄρα διὰ τῶν* ΚΛ, ΜΝ *ἐπίπεδον κύκλος ἐστίν, οὗ διάμετρος ἡ* ΜΝ. *καὶ ἔστι κάθετος ἐπὶ τὴν* ΜΝ *ἡ* ΚΛ, *ἐπεὶ καὶ ἡ* ΔΕ *ἐπὶ τὴν* ΒΓ· *τὸ ἄρα ὑπὸ τῶν* ΜΛΝ *ἴσον ἐστὶ τῷ ἀπὸ τῆς* ΚΛ. *καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ τῆς* ΒΓ *πρὸς τὸ ὑπὸ τῶν* ΒΑΓ, *οὕτως ἡ* ΘΖ *πρὸς* ΖΑ, *τὸ δὲ*

ΔE perpendicular to $B\Gamma$, and let the section so made on the surface of the cone be ΔZE, and let ZH, the diameter of the section, be parallel to $A\Gamma$, one side of the axial triangle, and from the point Z let $Z\Theta$ be drawn perpendicular to ZH, and let $B\Gamma^2 : BA \cdot A\Gamma = Z\Theta : ZA$, and let any point K be taken at random on the section, and through K let $K\Lambda$ be drawn parallel to ΔE. I say that $K\Lambda^2 = \Theta Z \cdot Z\Lambda$.

For let MN be drawn through Λ parallel to $B\Gamma$; but $K\Lambda$ is parallel to ΔE; therefore the plane through



$K\Lambda$, MN is parallel to the plane through $B\Gamma$, ΔE [Eucl. xi. 15], that is to the base of the cone. Therefore the plane through $K\Lambda$, MN is a circle, whose diameter is MN [Prop. 4]. And $K\Lambda$ is perpendicular to MN, since ΔE is perpendicular to $B\Gamma$ [Eucl. xi. 10];

therefore $\qquad M\Lambda \cdot \Lambda N = K\Lambda^2$.

And since $\quad B\Gamma^2 : BA \cdot A\Gamma = \Theta Z : ZA$, *ἀπὸ τῆς* ΒΓ *πρὸς τὸ ὑπὸ τῶν* ΒΑΓ *λόγον ἔχει τὸν συγκείμενον ἔκ τε τοῦ, ὃν ἔχει ἡ* ΒΓ *πρὸς* ΓΑ *καὶ ἡ* ΒΓ *πρὸς* ΒΑ, *ὁ ἄρα τῆς* ΘΖ *πρὸς* ΖΑ *λόγος σύγκειται ἐκ τοῦ τῆς* ΒΓ *πρὸς* ΓΑ *καὶ τοῦ τῆς* ΓΒ *πρὸς* ΒΑ. *ἀλλ' ὡς μὲν ἡ* ΒΓ *πρὸς* ΓΑ, *οὕτως ἡ* ΜΝ *πρὸς* ΝΑ, *τουτέστιν ἡ* ΜΛ *πρὸς* ΛΖ, *ὡς δὲ ἡ* ΒΓ *πρὸς* ΒΑ, *οὕτως ἡ* ΜΝ *πρὸς* ΜΑ, *τουτέστιν ἡ* ΛΜ *πρὸς* ΜΖ, *καὶ λοιπὴ ἡ* ΝΛ *πρὸς* ΖΑ. *ὁ ἄρα τῆς* ΘΖ *πρὸς* ΖΑ *λόγος σύγκειται ἐκ τοῦ τῆς* ΜΛ *πρὸς* ΛΖ *καὶ τοῦ τῆς* ΝΛ *πρὸς* ΖΑ. *ὁ δὲ συγκείμενος λόγος ἐκ τοῦ τῆς* ΜΛ *πρὸς* ΛΖ *καὶ τοῦ τῆς* ΛΝ *πρὸς* ΖΑ *ὁ τοῦ ὑπὸ* ΜΛΝ *ἐστι πρὸς τὸ ὑπὸ* ΛΖΑ. *ὡς ἄρα ἡ* ΘΖ *πρὸς* ΖΑ, *οὕτως τὸ ὑπὸ* ΜΛΝ *πρὸς τὸ ὑπὸ* ΛΖΑ. *ὡς δὲ ἡ* ΘΖ *πρὸς* ΖΑ, *τῆς* ΖΛ *κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ* ΘΖΛ *πρὸς τὸ ὑπὸ* ΛΖΑ· *ὡς ἄρα τὸ ὑπὸ* ΜΛΝ *πρὸς τὸ ὑπὸ* ΛΖΑ, *οὕτως τὸ ὑπὸ* ΘΖΛ *πρὸς τὸ ὑπὸ* ΛΖΑ. *ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ* ΜΛΝ *τῷ ὑπὸ* ΘΖΛ. *τὸ δὲ ὑπὸ* ΜΛΝ *ἴσον ἐστὶ τῷ ἀπὸ τῆς* ΚΛ· *καὶ τὸ ἀπὸ τῆς* ΚΛ *ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν* ΘΖΛ.

Καλείσθω δὲ ἡ μὲν τοιαύτη τομὴ παραβολή,[a] *ἡ δὲ* ΘΖ *παρ' ἣν δύνανται αἱ καταγόμεναι τεταγμένως ἐπὶ τὴν* ΖΗ *διάμετρον, καλείσθω δὲ καὶ ὀρθία.*

ιβ'

'Εὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν

[a] A *parabola* (*παραβολή*) because the square on the ordinate ΚΛ is *applied* (*παραβαλεῖν*) to the parameter ΘΖ in the form

while $\quad B\Gamma^2 : BA \,.\, A\Gamma = (B\Gamma : \Gamma A)(B\Gamma : BA)$,

therefore $\quad \Theta Z : ZA = (B\Gamma : \Gamma A)(\Gamma B : BA)$.

But $\quad B\Gamma : \Gamma A = MN : NA$

$= M\Lambda : \Lambda Z$, [Eucl. vi. 4

and $\quad B\Gamma : BA = MN : MA$

$= \Lambda M : MZ$ [*ibid.*

$= N\Lambda : ZA$. [Eucl. vi. 2

Therefore $\quad \Theta Z : ZA = (M\Lambda : \Lambda Z)(N\Lambda : ZA)$.

But $\quad (M\Lambda : \Lambda Z)(\Lambda N : ZA) = M\Lambda \,.\, \Lambda N : \Lambda Z \,.\, ZA$.

Therefore $\quad \Theta Z : ZA = M\Lambda \,.\, \Lambda N : \Lambda Z \,.\, ZA$.

But $\quad \Theta Z : ZA = \Theta Z \,.\, Z\Lambda : \Lambda Z \,.\, ZA$,

by taking a common height $Z\Lambda$;

therefore $\quad M\Lambda \,.\, \Lambda N : \Lambda Z \,.\, ZA = \Theta Z \,.\, Z\Lambda : \Lambda Z \,.\, ZA$.

Therefore $\quad M\Lambda \,.\, \Lambda N = \Theta Z \,.\, Z\Lambda$. [Eucl. v. 9

But $\quad M\Lambda \,.\, \Lambda N = K\Lambda^2$;

and therefore $\quad K\Lambda^2 = \Theta Z \,.\, Z\Lambda$.

Let such a section be called a *parabola*, and let ΘZ be called the *parameter of the ordinates* to the diameter ZH, and let it also be called the *erect side* (*latus rectum*).[a]

Prop. 12

Let a cone be cut by a plane through the axis, and let it be cut by another plane cutting the base of the cone in

of the rectangle $\Theta Z \,.\, Z\Lambda$, and is exactly equal to this rectangle. It was Apollonius's most distinctive achievement to have based his treatment of the conic sections on the Pythagorean theory of the *application of areas* (*παραβολὴ τῶν χωρίων*), for which *v.* vol. i. pp. 186-215. The explanation of the term *latus rectum* will become more obvious in the cases of the hyperbola and the ellipse; *v. infra*, p. 317 n. *a*.

τοῦ κώνου κατ᾽ εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἡ διάμετρος τῆς τομῆς ἐκβαλλομένη συμπίπτῃ μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἐκτὸς τῆς τοῦ κώνου κορυφῆς, ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ παράλληλος τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς βάσεως τοῦ κώνου, ἕως τῆς διαμέτρου τῆς τομῆς δυνήσεταί τι χωρίον παρακείμενον παρά τινα εὐθεῖαν, πρὸς ἣν λόγον ἔχει ἡ ἐπ᾽ εὐθείας μὲν οὖσα τῇ διαμέτρῳ τῆς τομῆς, ὑποτείνουσα δὲ τὴν ἐκτὸς τοῦ τριγώνου γωνίαν, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς ἠγμένης ἀπὸ τῆς κορυφῆς τοῦ κώνου παρὰ τὴν διάμετρον τῆς τομῆς ἕως τῆς βάσεως τοῦ τριγώνου πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν τῆς βάσεως τμημάτων, ὧν ποιεῖ ἡ ἀχθεῖσα, πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ᾽ αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς, ὑπερβάλλον εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ περιεχομένῳ ὑπό τε τῆς ὑποτεινούσης τὴν ἐκτὸς γωνίαν τοῦ τριγώνου καὶ τῆς παρ᾽ ἣν δύνανται αἱ καταγόμεναι· καλείσθω δὲ ἡ τοιαύτη τομὴ ὑπερβολή.

Ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α *σημεῖον, βάσις δὲ ὁ* ΒΓ *κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ* ΑΒΓ *τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾽ εὐθεῖαν τὴν* ΔΕ *πρὸς ὀρθὰς οὖσαν τῇ* ΒΓ *βάσει τοῦ* ΑΒΓ *τριγώνου, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν* ΔΖΕ *γραμμήν, ἡ δὲ διάμετρος τῆς τομῆς ἡ* ΖΗ *ἐκβαλλομένη συμπιπτέτω μιᾷ πλευρᾷ τοῦ* ΑΒΓ *τριγώνου τῇ* ΑΓ *ἐκτὸς τῆς τοῦ κώνου κορυφῆς κατὰ τὸ* Θ, *καὶ διὰ τοῦ* Α *τῇ διαμέτρῳ τῆς τομῆς* *a straight line perpendicular to the base of the axial triangle, and let the diameter of the section, when produced, meet one side of the axial triangle beyond the vertex of the cone; then if any straight line be drawn from the section of the cone parallel to the common section of the cutting plane and the base of the cone as far as the diameter of the section, its square will be equal to the area applied to a certain straight line; this line is such that the straight line subtending the external angle of the triangle, lying in the same straight line with the diameter of the section, will bear to it the same ratio as the square on the line drawn from the vertex of the cone parallel to the diameter of the section as far as the base of the triangle bears to the rectangle bounded by the segments of the base made by the line so drawn; the breadth of the applied figure will be the intercept made by the ordinate on the diameter in the direction of the vertex of the section; and the applied figure will exceed by a figure similar and similarly situated to the rectangle bounded by the straight line subtending the external angle of the triangle and the parameter of the ordinates; and let such a section be called a hyperbola.*

Let there be a cone whose vertex is the point A and whose base is the circle BΓ, and let it be cut by a plane through the axis, and let the section so made be the triangle ABΓ, and let it be cut by another plane cutting the base of the cone in the straight line ΔE perpendicular to BΓ, the base of the triangle ABΓ, and let the section so made on the surface of the cone be the curve ΔZE, and let ZH, the diameter of the section, when produced, meet AΓ, one side of the triangle ABΓ, beyond the vertex of the cone at Θ, and through A let AK be drawn parallel to ZH, the *τῇ ΖΗ παράλληλος ἤχθω ἡ* ΑΚ, *καὶ τεμνέτω τὴν* ΒΓ, *καὶ ἀπὸ τοῦ* Ζ *τῇ* ΖΗ *πρὸς ὀρθὰς ἤχθω ἡ*



ΖΛ, *καὶ πεποιήσθω, ὡς τὸ ἀπὸ* ΚΑ *πρὸς τὸ ὑπὸ* ΒΚΓ, *οὕτως ἡ* ΖΘ *πρὸς* ΖΛ, *καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τυχὸν τὸ* Μ, *καὶ διὰ τοῦ* Μ *τῇ* ΔΕ *παράλληλος ἤχθω ἡ* ΜΝ, *διὰ δὲ τοῦ* Ν *τῇ* ΖΛ *παράλληλος ἡ* ΝΟΞ, *καὶ ἐπιζευχθεῖσα ἡ* ΘΛ *ἐκβεβλήσθω ἐπὶ τὸ* Ξ, *καὶ διὰ τῶν* Λ, Ξ *τῇ* ΖΝ *παράλληλοι ἤχθωσαν αἱ* ΛΟ, ΞΠ. *λέγω, ὅτι ἡ* ΜΝ *δύναται τὸ* ΖΞ, *ὃ παράκειται παρὰ τὴν* ΖΛ, *πλάτος ἔχον τὴν* ΖΝ, *ὑπερβάλλον εἴδει τῷ* ΛΞ *ὁμοίῳ ὄντι τῷ ὑπὸ τῶν* ΘΖΛ.

Ἤχθω γὰρ διὰ τοῦ Ν *τῇ* ΒΓ *παράλληλος ἡ* ΡΝΣ· *ἔστι δὲ καὶ ἡ* ΝΜ *τῇ* ΔΕ *παράλληλος· τὸ* diameter of the section, and let it cut ΒΓ, and from Ζ let ΖΛ be drawn perpendicular to ΖΗ, and let $\text{ΚΑ}^2 : \text{ΒΚ} . \text{ΚΓ} = \text{ΖΘ} : \text{ΖΛ}$, and let there be taken at random any point Μ on the section, and through Μ let ΜΝ be drawn parallel to ΔΕ, and through Ν let ΝΟΞ be drawn parallel to ΖΛ, and let ΘΛ be joined and produced to Ξ, and through Λ, Ξ, let ΛΟ, ΞΠ be drawn parallel to ΖΝ. I say that the square on ΜΝ is equal to ΖΞ, which is applied to the straight line ΖΛ, having ΖΝ for its breadth, and exceeding by the figure ΛΞ which is similar to the rectangle contained by ΘΖ, ΖΛ.

For let ΡΝΣ be drawn through Ν parallel to ΒΓ; but ΝΜ is parallel to ΔΕ; therefore the plane through ἄρα διὰ τῶν ΜΝ, ΡΣ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ, τουτέστι τῇ βάσει τοῦ κώνου. ἐὰν ἄρα ἐκβληθῇ τὸ διὰ τῶν ΜΝ, ΡΣ ἐπίπεδον, ἡ τομὴ κύκλος ἔσται, οὗ διάμετρος ἡ ΡΝΣ. καὶ ἔστιν ἐπ' αὐτὴν κάθετος ἡ ΜΝ· τὸ ἄρα ὑπὸ τῶν ΡΝΣ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ ΑΚ πρὸς τὸ ὑπὸ ΒΚΓ, οὕτως ἡ ΖΘ πρὸς ΖΛ, ὁ δὲ τοῦ ἀπὸ τῆς ΑΚ πρὸς τὸ ὑπὸ ΒΚΓ λόγος σύγκειται ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΑΚ πρὸς ΚΓ καὶ ἡ ΑΚ πρὸς ΚΒ, καὶ ὁ τῆς ΖΘ ἄρα πρὸς τὴν ΖΛ λόγος σύγκειται ἐκ τοῦ, ὃν ἔχει ἡ ΑΚ πρὸς ΚΓ καὶ ἡ ΑΚ πρὸς ΚΒ. ἀλλ' ὡς μὲν ἡ ΑΚ πρὸς ΚΓ, οὕτως ἡ ΘΗ πρὸς ΗΓ, τουτέστιν ἡ ΘΝ πρὸς ΝΣ, ὡς δὲ ἡ ΑΚ πρὸς ΚΒ, οὕτως ἡ ΖΗ πρὸς ΗΒ, τουτέστιν ἡ ΖΝ πρὸς ΝΡ. ὁ ἄρα τῆς ΘΖ πρὸς ΖΛ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΘΝ πρὸς ΝΣ καὶ τοῦ τῆς ΖΝ πρὸς ΝΡ. ὁ δὲ συγκείμενος λόγος ἐκ τοῦ τῆς ΘΝ πρὸς ΝΣ καὶ τοῦ τῆς ΖΝ πρὸς ΝΡ ὁ τοῦ ὑπὸ τῶν ΘΝΖ ἐστι πρὸς τὸ ὑπὸ τῶν ΣΝΡ· καὶ ὡς ἄρα τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΣΝΡ, οὕτως ἡ ΘΖ πρὸς ΖΛ, τουτέστιν ἡ ΘΝ πρὸς ΝΞ. ἀλλ' ὡς ἡ ΘΝ πρὸς ΝΞ, τῆς ΖΝ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΖΝΞ. καὶ ὡς ἄρα τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΣΝΡ, οὕτως τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΞΝΖ. τὸ ἄρα ὑπὸ ΣΝΡ ἴσον ἐστὶ τῷ ὑπὸ ΞΝΖ. τὸ δὲ ἀπὸ ΜΝ ἴσον ἐδείχθη τῷ ὑπὸ ΣΝΡ· καὶ τὸ ἀπὸ τῆς ΜΝ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΞΝΖ. τὸ δὲ ὑπὸ ΞΝΖ ἐστι τὸ ΞΖ παραλληλόγραμμον. ἡ ἄρα

MN, PΣ is parallel to the plane through BΓ, ΔE [Eucl. xi. 15], that is to the base of the cone. If, then, the plane through MN, PΣ be produced, the section will be a circle with diameter PNΣ [Prop. 4]. And MN is perpendicular to it; therefore

$$PN . N\Sigma = MN^2.$$

And since $AK^2 : BK . K\Gamma = Z\Theta : Z\Lambda$,

while $AK^2 : BK . K\Gamma = (AK : K\Gamma)(AK : KB)$,

therefore $Z\Theta : Z\Lambda = (AK : K\Gamma)(AK : KB)$.

But $AK : K\Gamma = \Theta H : H\Gamma$,

i.e., $= \Theta N : N\Sigma$, [Eucl. vi. 4

and $AK : KB = ZH : HB$,

i.e., $= ZN : NP$. [*ibid.*

Therefore $\Theta Z : Z\Lambda = (\Theta N : N\Sigma)(ZN : NP)$.

But $(\Theta N : N\Sigma)(ZN : NP) = \Theta N . NZ : \Sigma N . NP$;

and therefore

$$\Theta N . NZ : \Sigma N . NP = \Theta Z : Z\Lambda$$
$$= \Theta N : N\Xi. \quad [\textit{ibid.}$$

But $\Theta N : N\Xi = \Theta N . NZ : ZN . N\Xi$,

by taking a common height ZN.

And therefore

$$\Theta N . NZ : \Sigma N . NP = \Theta N . NZ : \Xi N . NZ.$$

Therefore $\Sigma N . NP = \Xi N . NZ$. [Eucl. v. 9

But $MN^2 = \Sigma N . NP$,

as was proved;

and therefore $MN^2 = \Xi N . NZ$.

But the rectangle ΞN . NZ is the parallelogram ΞZ.

ΜΝ δύναται τὸ ΞΖ, ὃ παράκειται παρὰ τὴν ΖΛ, πλάτος ἔχον τὴν ΖΝ, ὑπερβάλλον τῷ ΛΞ ὁμοίῳ ὄντι τῷ ὑπὸ τῶν ΘΖΛ. καλείσθω δὲ ἡ μὲν τοιαύτη τομὴ ὑπερβολή, ἡ δὲ ΛΖ παρ' ἣν δύνανται αἱ ἐπὶ τὴν ΖΗ καταγόμεναι τεταγμένως· καλείσθω δὲ ἡ αὐτὴ καὶ ὀρθία, πλαγία δὲ ἡ ΖΘ.

ιγ'

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παρὰ τὴν βάσιν τοῦ κώνου ἠγμένῳ μήτε ὑπεναντίως, τὸ δὲ ἐπίπεδον, ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, καὶ τὸ τέμνον ἐπίπεδον συμπίπτῃ κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν ἤτοι τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἢ τῇ ἐπ' εὐθείας αὐτῇ, ἥτις ἂν ἀπὸ τῆς τομῆς τοῦ κώνου παράλληλος ἀχθῇ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων ἕως τῆς διαμέτρου τῆς τομῆς, δυνήσεταί τι χωρίον παρακείμενον παρά τινα εὐθεῖαν, πρὸς ἣν λόγον ἔχει ἡ διάμετρος τῆς τομῆς, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς ἠγμένης ἀπὸ τῆς κορυφῆς τοῦ κώνου παρὰ τὴν διάμετρον τῆς τομῆς ἕως τῆς βάσεως τοῦ τριγώνου πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν ἀπολαμβανομένων ὑπ' αὐτῆς πρὸς ταῖς τοῦ τριγώνου εὐθείαις, πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ' αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς, ἐλλεῖπον εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ περιεχομένῳ ὑπό τε τῆς διαμέτρου καὶ τῆς παρ' ἣν δύνανται· καλείσθω δὲ ἡ τοιαύτη τομὴ ἔλλειψις.

Ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον,

Therefore the square on MN is equal to ΞZ, which is applied to ZΛ, having ZN for its breadth, and exceeding by ΛΞ similar to the rectangle contained by ΘZ, ZΛ. Let such a section be called a *hyperbola*, let ΛZ be called *the parameter to the ordinates* to ZH; and let this line be also called the *erect side* (*latus rectum*), and ZΘ the *transverse side.*[a]

Prop. 13

Let a cone be cut by a plane through the axis, and let it be cut by another plane meeting each side of the axial triangle, being neither parallel to the base nor subcontrary, and let the plane containing the base of the cone meet the cutting plane in a straight line perpendicular either to the base of the axial triangle or to the base produced; then if a straight line be drawn from any point of the section of the cone parallel to the common section of the planes as far as the diameter of the section, its square will be equal to an area applied to a certain straight line; this line is such that the diameter of the section will bear to it the same ratio as the square on the line drawn from the vertex of the cone parallel to the diameter of the section as far as the base of the triangle bears to the rectangle contained by the intercepts made by it on the sides of the triangle; the breadth of the applied figure will be the intercept made by it on the diameter in the direction of the vertex of the section; and the applied figure will be deficient by a figure similar and similarly situated to the rectangle bounded by the diameter and the parameter; and let such a section be called an ellipse.

Let there be a cone, whose vertex is the point A

[a] The *erect* and *transverse* side, that is to say, of the figure (εἶδος) applied to the diameter. In the case of the parabola, the transverse side is infinite.

βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παραλλήλῳ τῇ βάσει τοῦ κώνου μήτε ὑπεναντίως ἠγμένῳ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔΕ γραμμήν· κοινὴ



δὲ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ, ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, ἔστω ἡ ΖΗ πρὸς ὀρθὰς οὖσα τῇ ΒΓ, ἡ δὲ διάμετρος τῆς τομῆς ἔστω ἡ ΕΔ, καὶ ἀπὸ τοῦ Ε τῇ ΕΔ πρὸς ὀρθὰς ἤχθω ἡ ΕΘ, καὶ διὰ τοῦ Α τῇ ΕΔ παράλληλος ἤχθω ἡ ΑΚ, καὶ πεποιήσθω ὡς τὸ ἀπὸ ΑΚ πρὸς τὸ ὑπὸ ΒΚΓ, οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΘ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Λ, καὶ διὰ τοῦ Λ τῇ ΖΗ παράλληλος ἤχθω ἡ ΛΜ. λέγω, ὅτι ἡ ΛΜ δύναταί τι χωρίον, ὃ παράκειται παρὰ τὴν ΕΘ, πλάτος ἔχον τὴν ΕΜ, ἐλλεῖπον εἴδει ὁμοίῳ τῷ ὑπὸ τῶν ΔΕΘ.

Ἐπεζεύχθω γὰρ ἡ ΔΘ, καὶ διὰ μὲν τοῦ Μ τῇ and whose base is the circle ΒΓ, and let it be cut by a plane through the axis, and let the section so made be the triangle ΑΒΓ, and let it be cut by another plane meeting either side of the axial triangle, being drawn neither parallel to the base nor subcontrary, and let the section made on the surface of the cone be the curve ΔΕ; let the common section of the cutting plane and of that containing the base of the cone be ΖΗ, perpendicular to ΒΓ, and let the diameter of the section be ΕΔ, and from Ε let ΕΘ be drawn perpendicular to ΕΔ, and through Α let ΑΚ be drawn parallel to ΕΔ, and let $AK^2 : BK . K\Gamma = \Delta E : E\Theta$, and let any point Λ be taken on the section, and through Λ let ΛΜ be drawn parallel to ΖΗ. I say that the square on ΛΜ is equal to an area applied to the straight line ΕΘ, having ΕΜ for its breadth, and being deficient by a figure similar to the rectangle contained by ΔΕ, ΕΘ.

For let ΔΘ be joined, and through Μ let ΜΞΝ be

ΘΕ παράλληλος ἤχθω ἡ ΜΞΝ, διὰ δὲ τῶν Θ, Ξ τῇ ΕΜ παράλληλοι ἤχθωσαν αἱ ΘΝ, ΞΟ, καὶ διὰ τοῦ Μ τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΠΜΡ. ἐπεὶ οὖν ἡ ΠΡ τῇ ΒΓ παράλληλός ἐστιν, ἔστι δὲ καὶ ἡ ΛΜ τῇ ΖΗ παράλληλος, τὸ ἄρα διὰ τῶν ΛΜ, ΠΡ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΖΗ, ΒΓ ἐπιπέδῳ, τουτέστι τῇ βάσει τοῦ κώνου. ἐὰν ἄρα ἐκβληθῇ διὰ τῶν ΛΜ, ΠΡ ἐπίπεδον, ἡ τομὴ κύκλος ἔσται, οὗ διάμετρος ἡ ΠΡ. καί ἐστι κάθετος ἐπ' αὐτὴν ἡ ΛΜ· τὸ ἄρα ὑπὸ τῶν ΠΜΡ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΛΜ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ τῆς ΑΚ πρὸς τὸ ὑπὸ τῶν ΒΚΓ, οὕτως ἡ ΕΔ πρὸς τὴν ΕΘ, ὁ δὲ τοῦ ἀπὸ τῆς ΑΚ πρὸς τὸ ὑπὸ τῶν ΒΚΓ λόγος σύγκειται ἐκ τοῦ, ὃν ἔχει ἡ ΑΚ πρὸς ΚΒ, καὶ ἡ ΑΚ πρὸς ΚΓ, ἀλλ' ὡς μὲν ἡ ΑΚ πρὸς ΚΒ, οὕτως ἡ ΕΗ πρὸς ΗΒ, τουτέστιν ἡ ΕΜ πρὸς ΜΠ, ὡς δὲ ἡ ΑΚ πρὸς ΚΓ, οὕτως ἡ ΔΗ πρὸς ΗΓ, τουτέστιν ἡ ΔΜ πρὸς ΜΡ, ὁ ἄρα τῆς ΔΕ πρὸς τὴν ΕΘ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΕΜ πρὸς ΜΠ καὶ τοῦ τῆς ΔΜ πρὸς ΜΡ. ὁ δὲ συγκείμενος λόγος ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΕΜ πρὸς ΜΠ, καὶ ἡ ΔΜ πρὸς ΜΡ, ὁ τοῦ ὑπὸ τῶν ΕΜΔ ἐστι πρὸς τὸ ὑπὸ τῶν ΠΜΡ. ἔστιν ἄρα ὡς τὸ ὑπὸ τῶν ΕΜΔ πρὸς τὸ ὑπὸ τῶν ΠΜΡ, οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΘ, τουτέστιν ἡ ΔΜ πρὸς τὴν ΜΞ. ὡς δὲ ἡ ΔΜ πρὸς ΜΞ, τῆς ΜΕ κοινοῦ ὕψους λαμβανομένης, οὕτως τὸ ὑπὸ ΔΜΕ πρὸς τὸ ὑπὸ ΞΜΕ. καὶ ὡς ἄρα τὸ ὑπὸ ΔΜΕ πρὸς τὸ ὑπὸ ΠΜΡ, οὕτως τὸ ὑπὸ ΔΜΕ πρὸς τὸ ὑπὸ ΞΜΕ. ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΠΜΡ τῷ ὑπὸ ΞΜΕ. τὸ δὲ ὑπὸ ΠΜΡ ἴσον ἐδείχθη τῷ ἀπὸ τῆς ΛΜ· καὶ τὸ ὑπὸ ΞΜΕ ἄρα ἐστὶν ἴσον τῷ ἀπὸ τῆς ΛΜ. ἡ ΛΜ drawn parallel to ΘE, and through Θ, Ξ, let ΘN, ΞO be drawn parallel to EM, and through M let ΠMP be drawn parallel to BΓ. Then since ΠP is parallel to BΓ, and ΛM is parallel to ZH, therefore the plane through ΛM, ΠP is parallel to the plane through ZH, BΓ [Eucl. xi. 15], that is to the base of the cone. If, therefore, the plane through ΛM, ΠP be produced, the section will be a circle with diameter ΠP [Prop. 4]. And ΛM is perpendicular to it; therefore

$$\Pi M \,.\, MP = \Lambda M^2.$$

And since $\quad AK^2 : BK \,.\, K\Gamma = E\Delta : E\Theta,$

and $\quad AK^2 : BK \,.\, K\Gamma = (AK : KB)(AK : K\Gamma),$

while $\quad AK : KB = EH : HB$

$\qquad\qquad = EM : M\Pi,$ [Eucl. vi. 4

and $\quad AK : K\Gamma = \Delta H : H\Gamma$

$\qquad\qquad = \Delta M : MP,$ [*ibid.*

therefore $\quad \Delta E : E\Theta = (EM : M\Pi)(\Delta M : MP).$

But $(EM : M\Pi)(\Delta M : MP) \quad = EM \,.\, M\Delta : \Pi M \,.\, MP.$

Therefore

$$EM \,.\, M\Delta : \Pi M \,.\, MP = \Delta E : E\Theta$$

$\qquad\qquad = \Delta M : M\Xi.$ [*ibid.*

But $\quad \Delta M : M\Xi = \Delta M \,.\, ME : \Xi M \,.\, ME,$

by taking a common height ME.

Therefore $\Delta M \,.\, ME : \Pi M \,.\, MP = \Delta M \,.\, ME : \Xi M \,.\, ME.$

Therefore $\quad \Pi M \,.\, MP = \Xi M \,.\, ME.$ [Eucl. v. 9

But $\quad \Pi M \,.\, MP = \Lambda M^2,$

as was proved;

and therefore $\quad \Xi M \,.\, ME = \Lambda M^2.$

ἄρα δύναται τὸ ΜΟ, ὃ παράκειται παρὰ τὴν ΘΕ, πλάτος ἔχον τὴν ΕΜ, ἐλλεῖπον εἴδει τῷ ΟΝ ὁμοίῳ ὄντι τῷ ὑπὸ ΔΕΘ. καλείσθω δὲ ἡ μὲν τοιαύτη τομὴ ἔλλειψις, ἡ δὲ ΕΘ παρ' ἣν δύνανται αἱ καταγόμεναι ἐπὶ τὴν ΔΕ τεταγμένως, ἡ δὲ αὐτὴ καὶ ὀρθία, πλαγία δὲ ἡ ΕΔ.

ιδ'

Ἐὰν αἱ κατὰ κορυφὴν ἐπιφάνειαι ἐπιπέδῳ τμηθῶσι μὴ διὰ τῆς κορυφῆς, ἔσται ἐν ἑκατέρᾳ τῶν ἐπιφανειῶν τομὴ ἡ καλουμένη ὑπερβολή, καὶ τῶν δύο τομῶν ἥ τε διάμετρος ἡ αὐτὴ ἔσται, καὶ παρ' ἃς δύνανται αἱ ἐπὶ τὴν διάμετρον καταγόμεναι παράλληλοι τῇ ἐν τῇ βάσει τοῦ κώνου εὐθείᾳ ἴσαι, καὶ τοῦ εἴδους ἡ πλαγία πλευρὰ κοινὴ ἡ μεταξὺ τῶν κορυφῶν τῶν τομῶν· καλείσθωσαν δὲ αἱ τοιαῦται τομαὶ ἀντικείμεναι.

Ἔστωσαν αἱ κατὰ κορυφὴν ἐπιφάνειαι, ὧν κορυφὴ τὸ Α σημεῖον, καὶ τετμήσθωσαν ἐπιπέδῳ μὴ διὰ τῆς κορυφῆς, καὶ ποιείτω ἐν τῇ ἐπιφανείᾳ τομὰς τὰς ΔΕΖ, ΗΘΚ. λέγω, ὅτι ἑκατέρα τῶν ΔΕΖ, ΗΘΚ τομῶν ἐστιν ἡ καλουμένη ὑπερβολή.

---

[a] Let p be the parameter of a conic section and d the corresponding diameter, and let the diameter of the section and the tangent at its extremity be taken as axes of co-ordinates (in general oblique). Then Props. 11-13 are equivalent to the Cartesian equations.

Therefore the square on ΛM is equal to MO, which is applied to ΘE, having EM for its breadth, and being deficient by the figure ON similar to the rectangle ΔE . EΘ. Let such a section be called an *eclipse*, let EΘ be called *the parameter to the ordinates* to ΔE, and let this line be called the *erect side* (*latus rectum*), and EΔ the *transverse side*.[a]

Prop. 14

If the vertically opposite surfaces [of a double cone] be cut by a plane not through the vertex, there will be formed on each of the surfaces the section called a hyperbola, and the diameter of both sections will be the same, and the parameter to the ordinates drawn parallel to the straight line in the base of the cone will be equal, and the transverse side of the figure will be common, being the straight line between the vertices of the sections; and let such sections be called opposite.

Let there be vertically opposite surfaces having the point A for vertex, and let them be cut by a plane not through the vertex, and let the sections so made on the surface be ΔEZ, HΘK. I say that each of the sections ΔEZ, HΘK is the so-called hyperbola.

$y^2 = px$ (the parabola),

and

$y^2 = px \pm \frac{p}{d}x^2$ (the hyperbola and ellipse respectively).

It is the essence of Apollonius's treatment to express the fundamental properties of the conics as equations between *areas*, whereas Archimedes had given the fundamental properties of the central conics as *proportions*

$$y^2 : (a^2 \pm x^2) = a^2 : b^2.$$

This form is, however, equivalent to the Cartesian equations referred to axes through the centre.

Ἔστω γὰρ ὁ κύκλος, καθ' οὗ φέρεται ἡ τὴν ἐπιφάνειαν γράφουσα εὐθεῖα, ὁ ΒΔΓΖ, καὶ ἤχθω



ἐν τῇ κατὰ κορυφὴν ἐπιφανείᾳ παράλληλον αὐτῷ ἐπίπεδον τὸ ΞΗΟΚ· κοιναὶ δὲ τομαὶ τῶν ΗΘΚ, ΖΕΔ τομῶν καὶ τῶν κύκλων αἱ ΖΔ, ΗΚ· ἔσονται δὴ παράλληλοι. ἄξων δὲ ἔστω τῆς κωνικῆς ἐπιφανείας ἡ ΛΑΥ εὐθεῖα, κέντρα δὲ τῶν κύκλων τὰ Λ, Υ, καὶ ἀπὸ τοῦ Λ ἐπὶ τὴν ΖΔ κάθετος ἀχθεῖσα ἐκβεβλήσθω ἐπὶ τὰ Β, Γ σημεῖα, καὶ διὰ τῆς ΒΓ καὶ τοῦ ἄξονος ἐπίπεδον ἐκβεβλήσθω· ποιήσει δὴ τομὰς ἐν μὲν τοῖς κύκλοις παραλλήλους εὐθείας τὰς ΞΟ, ΒΓ, ἐν δὲ τῇ ἐπιφανείᾳ τὰς ΒΑΟ, ΓΑΞ·

For let $\mathrm{B\Delta\Gamma Z}$ be the circle round which revolves the straight line describing the surface, and in the vertically opposite surface let there be drawn parallel to it a plane $\Xi\mathrm{HOK}$; the common sections of the sections $\mathrm{H\Theta K}$, $\mathrm{ZE\Delta}$ and of the circles [Prop. 4] will be $\mathrm{Z\Delta}$, HK; and they will be parallel [Eucl. xi. 16]. Let the axis of the conical surface be $\Lambda\mathrm{A}\Upsilon$, let the centres of the circles be Λ, Υ, and from Λ let a perpendicular be drawn to $\mathrm{Z\Delta}$ and produced to the points B, Γ, and let the plane through $\mathrm{B\Gamma}$ and the axis be produced; it will make in the circles the parallel straight lines $\Xi\mathrm{O}$, $\mathrm{B\Gamma}$, and on the surface BAO, $\Gamma\mathrm{A}\Xi$;

ἔσται δὴ καὶ ἡ ΞΟ τῇ ΗΚ πρὸς ὀρθάς, ἐπειδὴ καὶ ἡ ΒΓ τῇ ΖΔ ἐστι πρὸς ὀρθάς, καί ἐστιν ἑκατέρα παράλληλος. καὶ ἐπεὶ τὸ διὰ τοῦ ἄξονος ἐπίπεδον ταῖς τομαῖς συμβάλλει κατὰ τὰ Μ, Ν σημεῖα ἐντὸς τῶν γραμμῶν, δῆλον, ὡς καὶ τὰς γραμμὰς τέμνει τὸ ἐπίπεδον. τεμνέτω κατὰ τὰ Θ, Ε· τὰ ἄρα Μ, Ε, Θ, Ν σημεῖα ἔν τε τῷ διὰ τοῦ ἄξονός ἐστιν ἐπιπέδῳ καὶ ἐν τῷ ἐπιπέδῳ, ἐν ᾧ εἰσιν αἱ γραμμαί· εὐθεῖα ἄρα ἐστὶν ἡ ΜΕΘΝ γραμμή. καὶ φανερόν, ὅτι τά τε Ξ, Θ, Α, Γ ἐπ᾽ εὐθείας ἐστὶ καὶ τὰ Β, Ε, Α, Ο· ἔν τε γὰρ τῇ κωνικῇ ἐπιφανείᾳ ἐστὶ καὶ ἐν τῷ διὰ τοῦ ἄξονος ἐπιπέδῳ. ἤχθωσαν δὴ ἀπὸ μὲν τῶν Θ, Ε τῇ ΘΕ πρὸς ὀρθὰς αἱ ΘΡ, ΕΠ, διὰ δὲ τοῦ Α τῇ ΜΕΘΝ παράλληλος ἤχθω ἡ ΣΑΤ, καὶ πεποιήσθω, ὡς μὲν τὸ ἀπὸ τῆς ΑΣ πρὸς τὸ ὑπὸ ΒΣΓ, οὕτως ἡ ΘΕ πρὸς ΕΠ, ὡς δὲ τὸ ἀπὸ τῆς ΑΤ πρὸς τὸ ὑπὸ ΟΤΞ, οὕτως ἡ ΕΘ πρὸς ΘΡ. ἐπεὶ οὖν κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ πεποίηκε τομὴν τὸ ΑΒΓ τρίγωνον, τέτμηται δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾽ εὐθεῖαν τὴν ΔΜΖ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ, καὶ πεποίηκε τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΔΕΖ, ἡ δὲ διάμετρος ἡ ΜΕ ἐκβαλλομένη συμπέπτωκε μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου, καὶ διὰ τοῦ Α σημείου τῇ διαμέτρῳ τῆς τομῆς τῇ ΕΜ παράλληλος ἦκται ἡ ΑΣ, καὶ ἀπὸ τοῦ Ε τῇ ΕΜ πρὸς ὀρθὰς ἦκται ἡ ΕΠ, καί ἐστιν ὡς τὸ ἀπὸ ΑΣ πρὸς τὸ ὑπὸ ΒΣΓ, οὕτως ἡ ΕΘ πρὸς ΕΠ, ἡ μὲν ΔΕΖ ἄρα τομὴ ὑπερβολή ἐστιν, ἡ δὲ ΕΠ παρ᾽ ἣν δύνανται αἱ ἐπὶ τὴν ΕΜ καταγόμεναι τεταγμένως, πλαγία now ΞO will be perpendicular to HK, since $B\Gamma$ is perpendicular to $Z\Delta$, and each is parallel [Eucl. xi. 10]. And since the plane through the axis meets the sections at the points M, N within the curves, it is clear that the plane cuts the curves. Let it cut them at the points Θ, E; then the points M, E, Θ, N are both in the plane through the axis and in the plane containing the curves; therefore the line $ME\Theta N$ is a straight line [Eucl. xi. 3]. And it is clear that Ξ, Θ, A, Γ are on a straight line, and also B, E, A, O; for they are both on the conical surface and in the plane through the axis. Now let ΘP, $E\Pi$ be drawn from Θ, E perpendicular to ΘE, and through A let $\Sigma A T$ be drawn parallel to $ME\Theta N$, and let

$$A\Sigma^2 : B\Sigma \,.\, \Sigma\Gamma = \Theta E : E\Pi,$$

and

$$AT^2 : OT \,.\, T\Xi = E\Theta : \Theta P.$$

Then since the cone, whose vertex is the point A and whose base is the circle $B\Gamma$, is cut by a plane through the axis, and the section so made is the triangle $AB\Gamma$, and it is cut by another plane cutting the base of the cone in the straight line ΔMZ perpendicular to $B\Gamma$, and the section so made on the surface is ΔEZ, and the diameter ME produced meets one side of the axial triangle beyond the vertex of the cone, and $A\Sigma$ is drawn through the point A parallel to the diameter of the section EM, and $E\Pi$ is drawn from E perpendicular to EM, and $A\Sigma^2 : B\Sigma \,.\, \Sigma\Gamma = E\Theta : E\Pi$, therefore the section ΔEZ is a hyperbola, in which $E\Pi$ is the parameter to the ordinates to EM, and ΘE is the δὲ τοῦ εἴδους πλευρὰ ἡ ΘΕ. ὁμοίως δὲ καὶ ἡ ΗΘΚ ὑπερβολή ἐστιν, ἧς διάμετρος μὲν ἡ ΘΝ, ἡ δὲ ΘΡ παρ' ἣν δύνανται αἱ ἐπὶ τὴν ΘΝ καταγόμεναι τεταγμένως, πλαγία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΘΕ.

Λέγω, ὅτι ἴση ἐστὶν ἡ ΘΡ τῇ ΕΠ. ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΒΓ τῇ ΞΟ, ἔστιν ὡς ἡ ΑΣ πρὸς ΣΓ, οὕτως ἡ ΑΤ πρὸς ΤΞ, καὶ ὡς ἡ ΑΣ πρὸς ΣΒ, οὕτως ἡ ΑΤ πρὸς ΤΟ. ἀλλ' ὁ τῆς ΑΣ πρὸς ΣΓ λόγος μετὰ τοῦ τῆς ΑΣ πρὸς ΣΒ ὁ τοῦ ἀπὸ ΑΣ ἐστι πρὸς τὸ ὑπὸ ΒΣΓ, ὁ δὲ τῆς ΑΤ πρὸς ΤΞ μετὰ τοῦ τῆς ΑΤ πρὸς ΤΟ ὁ τοῦ ἀπὸ ΑΤ πρὸς τὸ ὑπὸ ΞΤΟ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ ΑΣ πρὸς τὸ ὑπὸ ΒΣΓ, οὕτως τὸ ἀπὸ ΑΤ πρὸς τὸ ὑπὸ ΞΤΟ. καί ἐστιν ὡς μὲν τὸ ἀπὸ ΑΣ πρὸς τὸ ὑπὸ ΒΣΓ, ἡ ΘΕ πρὸς ΕΠ, ὡς δὲ τὸ ἀπὸ ΑΤ πρὸς τὸ ὑπὸ ΞΤΟ, ἡ ΘΕ πρὸς ΘΡ· καὶ ὡς ἄρα ἡ ΘΕ πρὸς ΕΠ, ἡ ΕΘ πρὸς ΘΡ. ἴση ἄρα ἐστὶν ἡ ΕΠ τῇ ΘΡ.

(vi.) *Transition to New Diameter*

Ibid., Prop. 50, Apoll. Perg. ed. Heiberg i. 148. 17–154. 8

ν'

Ἐὰν ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου εὐθεῖα ἐκβληθῇ, ἀπὸ δὲ τῆς κορυφῆς ἀναχθεῖσα εὐθεῖα παρὰ τεταγμένως κατηγμένην συμπίπτῃ τῇ διὰ τῆς ἁφῆς καὶ

[a] Apollonius is the first person known to have recognized the opposite branches of a hyperbola as portions of the same

transverse side of the figure [Prop. 12]. Similarly $H\Theta K$ is a hyperbola, in which ΘN is a diameter, ΘP is the parameter to the ordinates to ΘN, and ΘE is the transverse side of the figure.

I say that $\Theta P = E\Pi$. For since $B\Gamma$ is parallel to ΞO,

$$A\Sigma : \Sigma\Gamma = AT : T\Xi,$$

and $$A\Sigma : \Sigma B = AT : TO.$$

But $$(A\Sigma : \Sigma\Gamma)(A\Sigma : \Sigma B) = A\Sigma^2 : B\Sigma \,.\, \Sigma\Gamma,$$

and $$(AT : T\Xi)(AT : TO) = AT^2 : \Xi T \,.\, TO.$$

Therefore $$A\Sigma^2 : B\Sigma \,.\, \Sigma\Gamma = AT^2 : \Xi T \,.\, TO.$$

But $$A\Sigma^2 : B\Sigma \,.\, \Sigma\Gamma = \Theta E : E\Pi,$$

while $$AT^2 : \Xi T \,.\, TO = \Theta E : \Theta P ;$$

therefore $$\Theta E : E\Pi = E\Theta : \Theta P.$$

Therefore $$E\Pi = \Theta P.$$[a] [Eucl. v. 9

(vi.) *Transition to New Diameter*

Ibid., Prop. 50, Apoll. Perg. ed. Heiberg i. 148. 17–154. 8

Prop. 50

In a hyperbola, ellipse or circumference of a circle let a straight line be drawn to touch [the curve] and meet the diameter, and let the straight line through the point of contact and the centre be produced, and from the vertex let a straight line be drawn parallel to a straight line drawn ordinate-wise so as to meet the straight line drawn

curve. It is his practice, however, where possible to discuss the single-branch hyperbola (or the hyperbola *simpliciter* as he would call it) together with the ellipse and circle, and to deal with the opposite branches separately. But occasionally, as in i. 30, the double-branch hyperbola and the ellipse are included in one enunciation.

τοῦ κέντρου ἠγμένῃ εὐθείᾳ, καὶ ποιηθῇ, ὡς τὸ τμῆμα τῆς ἐφαπτομένης τὸ μεταξὺ τῆς ἁφῆς καὶ τῆς ἀνηγμένης πρὸς τὸ τμῆμα τῆς ἠγμένης διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου τὸ μεταξὺ τῆς ἁφῆς καὶ τῆς ἀνηγμένης, εὐθεῖά τις πρὸς τὴν διπλασίαν τῆς ἐφαπτομένης, ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ ἐπὶ τὴν διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένην εὐθεῖαν παράλληλος τῇ ἐφαπτομένῃ, δυνήσεταί τι χωρίον ὀρθογώνιον παρακείμενον παρὰ τὴν πορισθεῖσαν, πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ' αὐτῆς πρὸς τῇ ἁφῇ, ἐπὶ μὲν τῆς ὑπερβολῆς ὑπερβάλλον εἴδει ὁμοίῳ τῷ περιεχομένῳ ὑπὸ τῆς διπλασίας τῆς μεταξὺ τοῦ κέντρου καὶ τῆς ἁφῆς καὶ τῆς πορισθείσης εὐθείας, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου ἐλλεῖπον.

Ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, ἐφαπτομένη δὲ ἡ ΔΕ, καὶ ἐπιζευχθεῖσα ἡ ΓΕ ἐκβεβλήσθω ἐφ' ἑκάτερα, καὶ κείσθω τῇ ΕΓ ἴση ἡ ΓΚ, καὶ διὰ τοῦ Β τεταγμένως ἀνήχθω ἡ ΒΖΗ, διὰ δὲ τοῦ Ε τῇ ΕΓ πρὸς ὀρθὰς ἤχθω ἡ ΕΘ, καὶ γινέσθω, ὡς ἡ ΖΕ πρὸς ΕΗ, οὕτως ἡ ΕΘ πρὸς τὴν διπλασίαν τῆς ΕΔ, καὶ ἐπιζευχθεῖσα ἡ ΘΚ ἐκβεβλήσθω, καὶ εἰλήφθω τι ἐπὶ τῆς τομῆς σημεῖον τὸ Λ, καὶ δι' αὐτοῦ τῇ ΕΔ παράλληλος ἤχθω ἡ ΛΜΞ, τῇ δὲ

---

[a] To save space, the figure is here given for the hyperbola only ; in the MSS. there are figures for the ellipse and circle as well.

The general enunciation is not easy to follow, but the particular enunciation will make it easier to understand. The *through the point of contact and the centre, and let the segment of the tangent between the point of contact and the line drawn ordinate-wise bear to the segment of the line drawn through the point of contact and the centre between the point of contact and the line drawn ordinate-wise the same ratio as a certain straight line bears to double the tangent; then if any straight line be drawn from the section parallel to the tangent so as to meet the straight line drawn through the point of contact and the centre, its square will be equal to a certain rectilineal area applied to the postulated straight line, having for its breadth the intercept between it and the point of contact, in the case of the hyperbola exceeding by a figure similar to the rectangle bounded by double the straight line between the centre and the point of contact and the postulated straight line, in the case of the ellipse and circle falling short.*[a]

In a hyperbola, ellipse or circumference of a circle, with diameter AB and centre Γ, let ΔE be a tangent, and let ΓE be joined and produced in either direction, and let ΓK be placed equal to EΓ, and through B let BZH be drawn ordinate-wise, and through E let EΘ be drawn perpendicular to EΓ, and let ZE : EH = EΘ : 2EΔ, and let ΘK be joined and produced, and let any point Λ be taken on the section, and through it let ΛMΞ be drawn parallel to EΔ and

purpose of this important proposition is to show that, if any other diameter be taken, the ordinate-property of the conic with reference to this diameter has the same form as the ordinate-property with reference to the original diameter. The theorem amounts to a transformation of co-ordinates from the original diameter and the tangent at its extremity to any diameter and the tangent at its extremity. In succeeding propositions, showing how to construct conics from certain data, Apollonius introduces the axes for the first time as special cases of diameters.

ΒΗ ἡ ΛΡΝ, τῇ δὲ ΕΘ ἡ ΜΠ. λέγω, ὅτι τὸ ἀπὸ ΛΜ ἴσον ἐστὶ τῷ ὑπὸ ΕΜΠ.

Ἤχθω γὰρ διὰ τοῦ Γ τῇ ΚΠ παράλληλος ἡ ΓΣΟ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΓ τῇ ΓΚ, ὡς δὲ ἡ



ΕΓ πρὸς ΚΓ, ἡ ΕΣ πρὸς ΣΘ, ἴση ἄρα καὶ ἡ ΕΣ τῇ ΣΘ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΖΕ πρὸς ΕΗ, ἡ ΘΕ πρὸς τὴν διπλασίαν τῆς ΕΔ, καί ἐστι τῆς ΕΘ ἡμίσεια ἡ ΕΣ, ἔστιν ἄρα, ὡς ἡ ΖΕ πρὸς ΕΗ, ἡ ΣΕ πρὸς ΕΔ. ὡς δὲ ἡ ΖΕ πρὸς ΕΗ, ἡ ΛΜ πρὸς ΜΡ· ὡς ἄρα ἡ ΛΜ πρὸς ΜΡ, ἡ ΣΕ πρὸς ΕΔ. καὶ ἐπεὶ τὸ ΡΝΓ τρίγωνον τοῦ ΗΒΓ τριγώνου, τουτέστι τοῦ ΓΔΕ, ἐπὶ μὲν τῆς ὑπερβολῆς μεῖζον ἐδείχθη, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου ἔλασσον τῷ ΛΝΞ, κοινῶν ἀφαιρεθέντων ἐπὶ μὲν τῆς ὑπερβολῆς τοῦ τε ΕΓΔ τριγώνου καὶ τοῦ ΝΡΜΞ τετραπλεύρου, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου τοῦ ΜΞΓ τριγώνου, τὸ ΛΜΡ τρίγωνον τῷ ΜΕΔΞ τετραπλεύρῳ ἐστὶν ἴσον. καί ἐστι

ΛP N parallel to BΠ, and let MΠ be drawn parallel to EΘ. I say that $\Lambda M^2 = EM \cdot M\Pi$.

For through Γ let ΓΣO be drawn parallel to KΠ. Then since

$$E\Gamma = \Gamma K$$

and $E\Gamma : \Gamma K = E\Sigma : \Sigma\Theta$, [Eucl. vi. 2

therefore $E\Sigma = \Sigma\Theta$.

And since $ZE : EH = \Theta E : 2E\Delta$,

and $E\Sigma = \frac{1}{2}E\Theta$,

therefore $ZE : EH = \Sigma E : E\Delta$.

But $ZE : EH = \Lambda M : MP$; [Eucl. vi. 4

therefore $\Lambda M : MP = \Sigma E : E\Delta$.

And since it has been proved [Prop. 43] that in the hyperbola

$$\text{triangle } PN\Gamma = \text{triangle } HB\Gamma + \text{triangle } \Lambda N\Xi,$$

i.e., triangle $PN\Gamma$ = triangle $\Gamma\Delta E$ + triangle $\Lambda N\Xi$,[a]

while in the ellipse and the circle

$$\text{triangle } PN\Gamma = \text{triangle } HB\Gamma - \text{triangle } \Lambda N\Xi,$$

i.e., triangle $PN\Gamma$ + triangle $\Lambda N\Xi$ = triangle $\Gamma\Delta E$,[b]

therefore by taking away the common elements—in the hyperbola the triangle EΓΔ and the quadrilateral NPMΞ, in the ellipse and the circle the triangle MΞΓ,

$$\text{triangle } \Lambda MP = \text{quadrilateral } ME\Delta\Xi.$$

[a] For this step *v*. Eutocius's comment on Prop. 43.
[b] See Eutocius.

παράλληλος ἡ ΜΞ *τῇ* ΔΕ, *ἡ δὲ ὑπὸ* ΛΜΡ *τῇ ὑπὸ* ΕΜΞ *ἐστιν ἴση· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ* ΛΜΡ *τῷ ὑπὸ τῆς* ΕΜ *καὶ συναμφοτέρου τῆς* ΕΔ, ΜΞ. *καὶ ἐπεί ἐστιν, ὡς ἡ* ΜΓ *πρὸς* ΓΕ, *ἥ τε* ΜΞ *πρὸς* ΕΔ *καὶ ἡ* ΜΟ *πρὸς* ΕΣ, *ὡς ἄρα ἡ* ΜΟ *πρὸς* ΕΣ, *ἡ* ΜΞ *πρὸς* ΔΕ. *καὶ συνθέντι, ὡς συναμφότερος ἡ* ΜΟ, ΣΕ *πρὸς* ΕΣ, *οὕτως συναμφότερος ἡ* ΜΞ, ΕΔ *πρὸς* ΕΔ· *ἐναλλάξ, ὡς συναμφότερος ἡ* ΜΟ, ΣΕ *πρὸς συναμφότερον τὴν* ΞΜ, ΕΔ *ἡ* ΣΕ *πρὸς* ΕΔ. *ἀλλ' ὡς μὲν συναμφότερος ἡ* ΜΟ, ΕΣ *πρὸς συναμφότερον τὴν* ΜΞ, ΔΕ, *τὸ ὑπὸ συναμφοτέρου τῆς* ΜΟ, ΕΣ *καὶ τῆς* ΕΜ *πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς* ΜΞ, ΕΔ *καὶ τῆς* ΕΜ, *ὡς δὲ ἡ* ΣΕ *πρὸς* ΕΔ, *ἡ* ΖΕ *πρὸς* ΕΗ, *τουτέστιν ἡ* ΛΜ *πρὸς* ΜΡ, *τουτέστι τὸ ἀπὸ* ΛΜ *πρὸς τὸ ὑπὸ* ΛΜΡ· *ὡς ἄρα τὸ ὑπὸ συναμφοτέρου τῆς* ΜΟ, ΕΣ *καὶ τῆς* ΜΕ *πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς* ΜΞ, ΕΔ *καὶ τῆς* ΕΜ, *τὸ ἀπὸ* ΛΜ *πρὸς τὸ ὑπὸ* ΛΜΡ. *καὶ ἐναλλάξ, ὡς τὸ ὑπὸ συναμφοτέρου τῆς* ΜΟ, ΕΣ *καὶ τῆς* ΜΕ *πρὸς τὸ ἀπὸ* ΜΛ, *οὕτως τὸ ὑπὸ συναμφοτέρου τῆς* ΜΞ, ΕΔ *καὶ τῆς* ΜΕ *πρὸς τὸ ὑπὸ* ΛΜΡ. *ἴσον δὲ τὸ ὑπὸ* ΛΜΡ *τῷ ὑπὸ τῆς* ΜΕ *καὶ συναμφοτέρου τῆς* ΜΞ, ΕΔ· *ἴσον ἄρα καὶ τὸ ἀπὸ* ΛΜ *τῷ ὑπὸ* ΕΜ *καὶ συναμφοτέρου τῆς* ΜΟ, ΕΣ. *καί ἐστιν ἡ μὲν* ΣΕ *τῇ* ΣΘ *ἴση, ἡ δὲ* ΣΘ *τῇ* ΟΠ· *ἴσον ἄρα τὸ ἀπὸ* ΛΜ *τῷ ὑπὸ* ΕΜΠ.

But $M\Xi$ is parallel to ΔE and angle $\Lambda MP =$ angle $EM\Xi$ (Eucl. i. 15];

therefore $\Lambda M \cdot MP = EM \cdot (E\Delta + M\Xi)$.

And since $M\Gamma : \Gamma E = M\Xi : E\Delta$,

and $M\Gamma : \Gamma E = MO : E\Sigma$, [Eucl. vi. 4

therefore $MO : E\Sigma = M\Xi : \Delta E$.

Componendo, $MO + \Sigma E : E\Sigma = M\Xi + E\Delta : E\Delta$;

and *permutando*

$$MO + \Sigma E : \Xi M + E\Delta = \Sigma E : E\Delta.$$

But $MO + \Sigma E : \Xi M + E\Delta = (MO + E\Sigma) \cdot EM : (M\Xi + E\Delta) \cdot EM$,

and
$$\begin{aligned} \Sigma E : E\Delta &= ZE : EH \\ &= \Lambda M : MP \quad \text{[Eucl. vi. 4} \\ &= \Lambda M^2 : \Lambda M \cdot MP; \end{aligned}$$

therefore

$$(MO + E\Sigma) \cdot ME : (M\Xi + E\Delta) \cdot EM = \Lambda M^2 : \Lambda M \cdot MP.$$

And *permutando*

$$(MO + E\Sigma) \cdot ME : M\Lambda^2 = (M\Xi + E\Delta) \cdot ME : \Lambda M \cdot MP.$$

But $\Lambda M \cdot MP = ME \cdot (M\Xi + E\Delta)$;

therefore $\Lambda M^2 = EM \cdot (MO + E\Sigma)$.

And $\Sigma E = \Sigma\Theta$, while $\Sigma\Theta = O\Pi$ [Eucl. i. 34];

therefore $\Lambda M^2 = EM \cdot M\Pi$.

(b) Other Works

(i.) *General*

Papp. *Coll.* vii. 3, ed. Hultsch 636. 18-23

Τῶν δὲ προειρημένων τοῦ Ἀναλυομένου βιβλίων ἡ τάξις ἐστὶν τοιαύτη· Εὐκλείδου Δεδομένων βιβλίον ᾱ, Ἀπολλωνίου Λόγου ἀποτομῆς β̄, Χωρίου ἀποτομῆς β̄, Διωρισμένης τομῆς δύο, Ἐπαφῶν δύο, Εὐκλείδου Πορισμάτων τρία, Ἀπολλωνίου Νεύσεων δύο, τοῦ αὐτοῦ Τόπων ἐπιπέδων δύο, Κωνικῶν η̄.

(ii.) *On the Cutting-off of a Ratio*

Ibid. vii. 5-6, ed. Hultsch 640. 4-22

Τῆς δ' Ἀποτομῆς τοῦ λόγου βιβλίων ὄντων β̄ πρότασίς ἐστιν μία ὑποδιῃρημένη, διὸ καὶ μίαν πρότασιν οὕτως γράφω· διὰ τοῦ δοθέντος σημείου εὐθεῖαν γραμμὴν ἀγαγεῖν τέμνουσαν ἀπὸ τῶν τῇ θέσει δοθεισῶν δύο εὐθειῶν πρὸς τοῖς ἐπ' αὐτῶν δοθεῖσι σημείοις λόγον ἐχούσας τὸν αὐτὸν τῷ δοθέντι. τὰς δὲ γραφὰς διαφόρους γενέσθαι καὶ πλῆθος λαβεῖν συμβέβηκεν ὑποδιαιρέσεως γενομένης ἕνεκα τῆς τε πρὸς ἀλλήλας θέσεως τῶν διδομένων εὐθειῶν καὶ τῶν διαφόρων πτώσεων τοῦ διδομένου σημείου καὶ διὰ τὰς ἀναλύσεις καὶ συνθέσεις αὐτῶν τε καὶ τῶν διορισμῶν. ἔχει γὰρ τὸ μὲν πρῶτον βιβλίον τῶν Λόγου ἀποτομῆς

[a] Unhappily the only work by Apollonius which has survived, in addition to the *Conics*, is *On the Cutting-off of a*

(b) Other Works

(i.) *General*

Pappus, *Collection* vii. 3, ed. Hultsch 636. 18-23

The order of the aforesaid books in the *Treasury of Analysis* is as follows: the one book of Euclid's *Data*, the two books of Apollonius's *On the Cutting-off of a Ratio*, his two books *On the Cutting-off of an Area*, his two books *On Determinate Section*, his two books *On Tangencies*, the three books of Euclid's *Porisms*, the two books of Apollonius's *On Vergings*, the two books of the same writer *On Plane Loci*, his eight books of *Conics*.[a]

(ii.) *On the Cutting-off of a Ratio*

Ibid. vii. 5-6, ed. Hultsch 640. 4-22

In the two books *On the Cutting-off of a Ratio* there is one enunciation which is subdivided, for which reason I state one enunciation thus: *Through a given point to draw a straight line cutting off from two straight lines given in position intercepts, measured from two given points on them, which shall have a given ratio.* When the subdivision is made, this leads to many different figures according to the position of the given straight lines in relation one to another and according to the different cases of the given point, and owing to the analysis and the synthesis both of these cases and of the propositions determining the limits of possibility. The first book of those *On the Cutting-off of a*

Ratio, and that only in Arabic. Halley published a Latin translation in 1706. But the contents of the other works are indicated fairly closely by Pappus's references.

τόπους ζ̅, πτώσεις κ̅δ̅, διορισμοὺς δὲ ε̅, ὧν τρεῖς μέν εἰσιν μέγιστοι, δύο δὲ ἐλάχιστοι. . . . τὸ δὲ δεύτερον βιβλίον Λόγου ἀποτομῆς ἔχει τόπους ι̅δ̅, πτώσεις δὲ ξ̅γ̅, διορισμοὺς δὲ τοὺς ἐκ τοῦ πρώτου· ἀπάγεται γὰρ ὅλον εἰς τὸ πρῶτον.

(iii.) *On the Cutting-off of an Area*

Ibid. vii. 7, ed. Hultsch 640. 26–642. 5

Τῆς δ' Ἀποτομῆς τοῦ χωρίου βιβλία μέν ἐστιν δύο, πρόβλημα δὲ κἀν τούτοις ἓν ὑποδιαιρούμενον δίς, καὶ τούτων μία πρότασίς ἐστιν τὰ μὲν ἄλλα ὁμοίως ἔχουσα τῇ προτέρᾳ, μόνῳ δὲ τούτῳ διαφέρουσα τῷ δεῖν τὰς ἀποτεμνομένας δύο εὐθείας ἐν ἐκείνῃ μὲν λόγον ἐχούσας δοθέντα ποιεῖν, ἐν δὲ ταύτῃ χωρίον περιεχούσας δοθέν.

(iv.) *On Determinate Section*

Ibid. vii. 9, ed. Hultsch 642. 19–644. 16

Ἑξῆς τούτοις ἀναδέδονται τῆς Διωρισμένης τομῆς βιβλία β̅, ὧν ὁμοίως τοῖς πρότερον μίαν πρότασιν πάρεστιν λέγειν, διεζευγμένην δὲ ταύτην·

---

[a] The Arabic text shows that Apollonius first discussed the cases in which the lines are parallel, then the cases in which the lines intersect but one of the given points is at the point of intersection ; in the second book he proceeds to the general case, but shows that it can be reduced to the case where one

Ratio contains seven loci, twenty-four cases and five determinations of the limits of possibility, of which three are maxima and two are minima. . . . The second book *On the Cutting-off of a Ratio* contains fourteen loci, sixty-three cases and the same determinations of the limits of possibility as the first; for they are all reduced to those in the first book.[a]

(iii.) *On the Cutting-off of an Area*

Ibid. vii. 7, ed. Hultsch 640. 26–642. 5

Ἐπειδὴ γὰρ τοῦτο ὡμολογημένον ἐστὶ παρὰ πᾶσιν, ὅτι οὐδὲν μάτην ἐργάζεται ἡ φύσις οὐδὲ ματαιοπονεῖ, ἐὰν μὴ δώσωμεν πρὸς ἴσας γωνίας γίνεσθαι τὴν ἀνάκλασιν, πρὸς ἀνίσους ματαιοπονεῖ

[1] τὴν add. H. Schöne.
[2] πασῶν G. Schmidt, τῶν μέσων codd.
[3] πρὸς ἀνίσους γωνίας om. R. Schöne.

on to this last, and then the adjacent wheel HΘ, and so finally the axle EZ fitting on to it ; and the rope, winding round the axle, will move the weight. That it will move the weight is obvious because there has been added to the one force that moving the handle which describes a circle greater than that of the screw; for it has been proved that greater circles prevail over lesser when they revolve about the same centre.

(*d*) Optics : Equality of Angles of Incidence and Reflection

Damianus,[a] *On the Hypotheses in Optics* 14, ed. R. Schöne 20. 12-18

For the mechanician Heron showed in his *Catoptrica* that of all [mutually] inclined straight lines drawn from the same homogenous straight line [surface] to the same [points], those are the least which are so inclined as to make equal angles. In his proof he says that if Nature did not wish to lead our sight in vain, she would incline it so as to make equal angles.

Olympiodorus, *Commentary on Aristotle's Meteora* iii. 2 (371 b 18), ed. Stüve 212. 5–213. 21

For this would be agreed by all, that Nature does nothing in vain nor labours in vain ; but if we do not grant that the angles of incidence and reflection are equal, Nature would be labouring in vain by following

[a] Damianus, or Heliodorus, of Larissa (date unknown) is the author of a small work on optics, which seems to be an abridgement of a large work based on Euclid's treatise. The full title given in some mss.—*Δαμιανοῦ φιλοσόφου τοῦ Ἡλιοδώρου Λαρισσαίου Περὶ ὀπτικῶν ὑποθέσεων βιβλία β̄* leaves uncertain which was his real name.

ἡ φύσις, καὶ ἀντὶ τοῦ διὰ βραχείας περιόδου φθάσαι τὸ ὁρώμενον τὴν ὄψιν, διὰ μακρᾶς περιόδου τοῦτο φανήσεται καταλαμβάνουσα.[1] εὑρεθήσονται γὰρ αἱ τὰς ἀνίσους γωνίας περιέχουσαι εὐθεῖαι, αἵτινες ἀπὸ τῆς ὄψεως [περιέχουσαι][2] φέρονται[3] πρὸς τὸ κάτοπτρον κἀκεῖθεν πρὸς τὸ ὁρώμενον, μείζονες οὖσαι τῶν τὰς ἴσας γωνίας περιεχουσῶν εὐθειῶν. καὶ ὅτι τοῦτο ἀληθές, δῆλον ἐντεῦθεν.

Ὑποκείσθω γὰρ τὸ κάτοπτρον εὐθεῖά τις ἡ ΑΒ, καὶ ἔστω τὸ μὲν ὁρῶν Γ, τὸ δ' ὁρώμενον τὸ Δ, τὸ δὲ Ε σημεῖον τοῦ κατόπτρου, ἐν ᾧ προσπίπτουσα ἡ ὄψις ἀνακλᾶται πρὸς τὸ ὁρώμενον, ἔστω,



καὶ ἐπεζεύχθω ἡ ΓΕ, ΕΔ. λέγω ὅτι ἡ ὑπὸ ΑΕΓ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΔΕΒ.

unequal angles, and instead of the eye apprehending the visible object by the shortest route it would do so by a longer. For straight lines so drawn from the eye to the mirror and thence to the visible object as to make unequal angles will be found to be greater than straight lines so drawn as to make equal angles. That this is true, is here made clear.

For let the straight line AB be supposed to be the mirror, and let Γ be the observer, Δ the visible object, and let E be a point on the mirror, falling on which the sight is bent towards the visible object, and let ΓE, EΔ be joined. I say that the angle AEΓ is equal to the angle ΔEB.[a]

[a] Different figures are given in different MSS., with corresponding small variants in the text. With G. Schmidt, I have reproduced the figure in the Aldine edition.

---

[1] καταλαμβάνουσα om. Ideler.
[2] περιέχουσαι om. R. Schöne, περιέχουσι Ideler, Stüve.
[3] φέρονται R. Schöne, φερομένας codd.

Εἰ γὰρ μή ἐστιν ἴση, ἔστω ἕτερον σημεῖον τοῦ κατόπτρου, ἐν ᾧ προσπίπτουσα ἡ ὄψις πρὸς ἀνίσους γωνίας ἀνακλᾶται, τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΓΖ, ΖΔ. δῆλον ὅτι ἡ ὑπὸ ΓΖΑ γωνία μείζων ἐστὶ τῆς ὑπὸ ΔΖΕ γωνίας. λέγω ὅτι αἱ ΓΖ, ΖΔ εὐθεῖαι, αἵτινες τὰς ἀνίσους γωνίας περιέχουσιν ὑποκειμένης τῆς ΑΒ εὐθείας, μείζονές εἰσι τῶν ΓΕ, ΕΔ εὐθειῶν, αἵτινες τὰς ἴσας γωνίας περιέχουσι μετὰ τῆς ΑΒ. ἤχθω γὰρ κάθετος ἀπὸ τοῦ Δ ἐπὶ τὴν ΑΒ κατὰ τὸ Η σημεῖον καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας ὡς ἐπὶ τὸ Θ. φανερὸν δὴ ὅτι αἱ πρὸς τῷ Η γωνίαι ἴσαι εἰσίν· ὀρθαὶ γάρ εἰσι. καὶ ἔστω ἡ ΔΗ τῇ ΗΘ ἴση, καὶ ἐπεζεύχθω ἡ ΘΖ καὶ ἡ ΘΕ. αὕτη μὲν ἡ κατασκευή. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΗ τῇ ΗΘ, ἀλλὰ καὶ ἡ ὑπὸ ΔΗΕ γωνία τῇ ὑπὸ ΘΗΕ γωνίᾳ ἴση ἐστί, κοινὴ δὲ πλευρὰ τῶν δύο τριγώνων ἡ ΗΕ, [καὶ βάσις ἡ ΘΕ βάσει τῇ ΕΔ ἴση ἐστί, καὶ][1] τὸ ΗΘΕ τρίγωνον τῷ ΔΗΕ τριγώνῳ ἴσον ἐστί, καὶ ⟨αἱ⟩[2] λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις εἰσὶν ἴσαι, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἡ ΘΕ τῇ ΕΔ. πάλιν ἐπειδὴ τῇ ΗΘ ἴση ἐστὶν ἡ ΗΔ καὶ γωνία ἡ ὑπὸ ΔΗΖ γωνίᾳ τῇ ὑπὸ ΘΗΖ ἴση ἐστί, κοινὴ δὲ ἡ ΗΖ τῶν δύο τριγώνων τῶν ΔΗΖ καὶ ΘΗΖ, [καὶ βάσις ἄρα ἡ ΘΖ βάσει τῇ ΖΔ ἴση ἐστί, καὶ][3] τὸ ΖΗΔ τρίγωνον τῷ ΘΗΖ τριγώνῳ ἴσον ἐστίν. ἴση ἄρα ἐστὶν ἡ ΘΖ τῇ ΖΔ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΘΕ τῇ ΕΔ, κοινὴ προσκείσθω ἡ ΕΓ. δύο ἄρα αἱ ΓΕ, ΕΔ δυσὶ ταῖς ΓΕ, ΕΘ ἴσαι εἰσίν. ὅλη ἄρα ἡ ΓΘ δυσὶ ταῖς ΓΕ, ΕΔ ἴση ἐστί. καὶ ἐπεὶ παντὸς τριγώνου αἱ δύο πλευραὶ

For if it be not equal, let there be another point Z, on the mirror, falling on which the sight makes unequal angles, and let ΓZ, ZΔ be joined. It is clear that the angle ΓZA is greater than the angle ΔZE. I say that the sum of the straight lines ΓZ, ZΔ which make unequal angles with the base line AB, is greater than the sum of the straight lines ΓE, EΔ, which make equal angles with AB. For let a perpendicular be drawn from Δ to AB at the point H and let it be produced in a straight line to Θ. Then it is obvious that the angles at H are equal; for they are right angles. And let ΔH = HΘ, and let ΘZ and ΘE be joined. This is the construction. Then since ΔH = HΘ, and the angle ΔHE is equal to the angle ΘHE, while HE is a common side of the two triangles, the triangle HΘE is equal to the triangle ΔHE, and the remaining angles, subtended by the equal sides are severally equal one to the other [Eucl. i. 4]. Therefore ΘE = EΔ. Again, since HΔ = HΘ and angle ΔHZ = angle ΘHZ, while HZ is common to the two triangles ΔHZ and ΘHZ, the triangle ZHΔ is equal to the triangle ΘHZ [*ibid.*]. Therefore ΘZ = ZΔ. And since ΘE = EΔ, let EΓ be added to both. Then the sum of the two straight lines ΓE, EΔ is equal to the sum of the two straight lines ΓE, EΘ. Therefore the whole ΓΘ is equal to the sum of the two straight lines ΓE, EΔ. And since in any triangle the sum of two sides is always greater than

---

[1] *καὶ . . . καὶ.* These words are out of place here and superfluous.

[2] *αἱ* add. Schmidt. But possibly *καὶ . . . ὑποτείνουσιν*, being superfluous, should be omitted.

[3] *καὶ . . . καὶ.* These words are out of place here and superfluous.

τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι, τριγώνου ἄρα τοῦ ΘΖΓ αἱ δύο πλευραὶ αἱ ΘΖ, ΖΓ μιᾶς τῆς ΓΘ μείζονές εἰσιν. ἀλλ' ἡ ΓΘ ἴση ἐστὶ ταῖς ΓΕ, ΕΔ· αἱ ΘΖ, ΖΓ ἄρα μείζονές εἰσι τῶν ΓΕ, ΕΔ. ἀλλ' ἡ ΘΖ τῇ ΖΔ ἐστὶν ἴση· αἱ ΖΓ, ΖΔ ἄρα τῶν ΓΕ, ΕΔ μείζονές εἰσι. καί εἰσιν αἱ ΓΖ, ΖΔ αἱ τὰς ἀνίσους γωνίας περιέχουσαι· αἱ ἄρα τὰς ἀνίσους γωνίας περιέχουσαι μείζονές εἰσι τῶν τὰς ἴσας γωνίας περιεχουσῶν· ὅπερ ἔδει δεῖξαι.

(*e*) Quadratic Equations

Heron, *Geom.* 21. 9-10, ed. Heiberg (Heron iv.) 380. 15-31

Δοθέντων συναμφοτέρων τῶν ἀριθμῶν ἤγουν τῆς διαμέτρου, τῆς περιμέτρου καὶ τοῦ ἐμβαδοῦ τοῦ κύκλου ἐν ἀριθμῷ ἑνὶ διαστεῖλαι καὶ εὑρεῖν ἕκαστον ἀριθμόν. ποίει οὕτως· ἔστω ὁ δοθεὶς ἀριθμὸς μονάδες $\overline{\sigma\iota\beta}$. ταῦτα ἀεὶ ἐπὶ τὰ $\overline{\rho\nu\delta}$· γίνονται μυριάδες $\bar{\gamma}$ καὶ $\overline{,\beta\chi\mu\eta}$. τούτοις προστίθει καθολικῶς $\overline{\omega\mu\alpha}$· γίνονται μυριάδες τρεῖς καὶ $\overline{,\gamma\upsilon\pi\theta}$· ὧν πλευρὰ τετράγωνος γίνεται $\overline{\rho\pi\gamma}$· ἀπὸ τούτων κούφισον $\overline{\kappa\theta}$· λοιπὰ $\overline{\rho\nu\delta}$· ὧν μέρος ια′ γίνεται $\overline{\iota\delta}$· τοσούτου ἡ διάμετρος τοῦ κύκλου. ἐὰν δὲ θέλῃς καὶ τὴν περιφέρειαν εὑρεῖν, ὕφειλον τὰ $\overline{\kappa\theta}$ ἀπὸ τῶν $\overline{\rho\pi\gamma}$· λοιπὰ $\overline{\rho\nu\delta}$· ταῦτα ποίησον δίς· γίνονται $\overline{\tau\eta}$· τούτων λαβὲ μέρος ζ′· γίνονται $\overline{\mu\delta}$· τοσούτου ἡ

[a] The proof here given appears to have been taken by Olympiodorus from Heron's *Catoptrica*, and it is substantially identical with the proof in *De Speculis* 4. This work was formerly attributed to Ptolemy, but the discovery of Ptolemy's *Optics* in Arabic has encouraged the belief, now

the remaining side, in whatever way these may be taken [Eucl. i. 20], therefore in the triangle ΘΖΓ the sum of the two sides ΘΖ, ΖΓ is greater than the one side ΓΘ. But

$$\Gamma\Theta = \Gamma E + E\Delta;$$

$\therefore$ $$\Theta Z + Z\Gamma > \Gamma E + E\Delta.$$

But $$\Theta Z = Z\Delta;$$

$\therefore$ $$Z\Gamma + Z\Delta > \Gamma E + E\Delta.$$

And ΓΖ, ΖΔ make unequal angles; therefore the sum of straight lines making unequal angles is greater than the sum of straight lines making equal angles; which was to be proved.[a]

(e) Quadratic Equations

Heron, *Geometrica* 21. 9-10, ed. Heiberg (Heron iv.) 380. 15-31

Given the sum of the diameter, perimeter and area of a circle, to find each of them separately. It is done thus: Let the given sum be 212. Multiply this by 154; the result is 32648. To this add 841, making 33489, whose square root is 183. From this take away 29, leaving 154, whose eleventh part is 14; this will be the diameter of the circle. If you wish to find the circumference, take 29 from 183, leaving 154; double this, making 308, and take the seventh part, which is 44; this will be the perimeter. *To*

usually held, that it is a translation of Heron's *Catoptrica.* The translation, made by William of Moerbeke in 1269, can be shown by internal evidence to have been made from the Greek original and not from an Arabic translation. It is published in the Teubner edition of Heron's works, vol. ii. part i.

περίμετρος. τὸ δὲ ἐμβαδὸν εὑρεῖν. ποίει οὕτως· τὰ ι̅δ̅ τῆς διαμέτρου ἐπὶ τὰ μ̅δ̅ τῆς περιμέτρου· γίνονται χ̅ι̅ϛ̅· τούτων λαβὲ μέρος τέταρτον· γίνονται ρνδ· τοσοῦτον τὸ ἐμβαδὸν τοῦ κύκλου. ὁμοῦ τῶν τριῶν ἀριθμῶν μονάδες σ̅ι̅β̅.

(*f*) Indeterminate Analysis

Heron, *Geom.* 24. 1, ed. Heiberg
(Heron iv.) 414. 28–415. 10

Εὑρεῖν δύο χωρία τετράγωνα, ὅπως τὸ τοῦ πρώτου ἐμβαδὸν τοῦ τοῦ δευτέρου ἐμβαδοῦ ἔσται τριπλάσιον. ποιῶ οὕτως· τὰ γ̄ κύβισον· γίνονται

---

[a] If d is the diameter of the circle, then the given relation is that

$$d+\frac{22}{7}d+\frac{11}{14}d^2=212,$$

i.e.

$$\frac{11}{14}d^2+\frac{29}{7}d=212.$$

To solve this quadratic equation, we should divide by $\frac{11}{14}$ so as to make the first term a square; Heron makes the first term a square by multiplying by the lowest requisite factor, in this case 154, obtaining the equation

$$11^2d^2+2\,.\,29\,.\,11d=154\,.\,212.$$

By adding 841 he completes the square on the left-hand side

$$\begin{aligned}(11d+29)^2&=154\,.\,212+841\\&=32648+841\\&=33489.\\ \therefore\quad 11d+29&=183.\\ \therefore\quad 11d&=154,\\ \text{and}\quad d&=14.\end{aligned}$$

The same equation is again solved in *Geom.* 24. 46 and a similar one in *Geom.* 24. 47. Another quadratic equation is solved in *Geom.* 24. 3 and the result of yet another is given in *Metr.* iii. 4.

find the area. It is done thus : Multiply the diameter, 14, by the perimeter, 44, making 616 ; take the fourth part of this, which is 154 ; this will be the area of the circle. The sum of the three numbers is 212.[a]

(*f*) Indeterminate Analysis [b]

Heron, *Geometrica* 24. 1, ed. Heiberg (Heron iv.) 414. 28–415. 10

To find two rectangles such that the area of the first is three times the area of the second.[c] I proceed thus :

[b] The Constantinople ms. in which Heron's *Metrica* was found in 1896 contains also a number of interesting problems in indeterminate analysis ; and two were already extant in Heron's *Geëponicus*. The problems, thirteen in all, are now published by Heiberg in Heron iv. 414. 28–426. 29.

[c] It appears also to be a condition that the perimeter of the second should be three times the perimeter of the first. If we substitute any factor n for 3 the general problem becomes : To solve the equations

$$u+v=n(x+y) \quad . \quad . \quad . \quad (1)$$
$$xy=n\,.\,uv \quad . \quad . \quad . \quad (2)$$

The solution given is equivalent to

$$x=2n^3-1, \qquad y=2n^3$$
$$u=n(4n^3-2), \qquad v=n.$$

Zeuthen (*Bibliotheca mathematica*, viii. (1907–1908), pp. 118-134) solves the problem thus: Let us start with the hypothesis that $v=n$. It follows from (1) that u is a multiple of n, say nz. We have then

$$x+y=1+z,$$

while by (2) $\qquad xy=n^3z,$

whence $\qquad xy=n^3(x+y)-n^3$

or $\qquad (x-n^3)(y-n^3)=n^3(n^3-1).$

An obvious solution of this equation is

$$x-n^3=n^3-1,\ y-n^3=n^3,$$

which gives $z=4n^3-2$, whence $u=n(4n^3-2)$. The other values follow.

κζ· ταῦτα δίς· γίνονται νδ. νῦν ἆρον μονάδα α· λοιπὸν γίνονται νγ. ἔστω οὖν ἡ μὲν μία πλευρὰ ποδῶν νγ, ἡ δὲ ἑτέρα πλευρὰ ποδῶν νδ. καὶ τοῦ ἄλλου χωρίου οὕτως· θὲς ὁμοῦ τὰ νγ καὶ τὰ νδ· γίνονται πόδες ρζ· ταῦτα ποίει ἐπὶ τὰ γ . . . λοιπὸν γίνονται πόδες τιη. ἔστω οὖν ἡ τοῦ προτέρου πλευρὰ ποδῶν τιη, ἡ δὲ ἑτέρα πλευρὰ ποδῶν γ· τὰ δὲ ἐμβαδὰ τοῦ ἑνὸς γίνεται ποδῶν ϡνδ καὶ τοῦ ἄλλου ποδῶν ͵βωξβ.

Ibid. 24. 10, ed. Heiberg (Heron iv.) 422. 15–424. 5

Τριγώνου ὀρθογωνίου τὸ ἐμβαδὸν μετὰ τῆς περιμέτρου ποδῶν σπ· ἀποδιαστεῖλαι τὰς πλευρὰς καὶ εὑρεῖν τὸ ἐμβαδόν. ποιῶ οὕτως· ἀεὶ ζήτει τοὺς ἀπαρτίζοντας ἀριθμούς· ἀπαρτίζει δὲ τὸν σπ ὁ δὶς τὸν ρμ, ὁ δʹ τὸν ο, ὁ εʹ τὸν νϛ, ὁ ζʹ τὸν μ, ὁ ηʹ τὸν λε, ὁ ιʹ τὸν κη, ὁ ιδʹ τὸν κ. ἐσκεψάμην, ὅτι ὁ η καὶ λε ποιήσουσι τὸ δοθὲν ἐπίταγμα. τῶν σπ τὸ ηʹ· γίνονται πόδες λε. διὰ παντὸς λάμβανε δυάδα τῶν η· λοιπὸν μένουσιν ϛ πόδες. τὰ οὖν λε καὶ τὰ ϛ ὁμοῦ γίνονται πόδες μα. ταῦτα ποίει ἐφʼ ἑαυτά· γίνονται πόδες ͵αχπα. τὰ λε ἐπὶ τὰ ϛ· γίνονται πόδες σι· ταῦτα ποίει ἀεὶ ἐπὶ τὰ η· γίνονται πόδες ͵αχπ. ταῦτα ἆρον ἀπὸ τῶν ͵αχπα· λοιπὸν μένει α· ὧν πλευρὰ τετραγωνικὴ γίνεται α. ἄρτι θὲς τὰ μα καὶ ἆρον μονάδα α· λοιπὸν μ· ὧν ∠ʹ γίνεται κ· τοῦτό ἐστιν ἡ κάθετος, ποδῶν κ. καὶ θὲς πάλιν τὰ μα καὶ πρόσθες α· γίνονται πόδες μβ· ὧν ∠ʹ γίνεται πόδες κα· ἔστω ἡ βάσις ποδῶν κα. καὶ θὲς τὰ λε καὶ ἆρον τὰ ϛ· λοιπὸν μένουσι

Take the cube of 3, making 27 ; double this, making 54. Now take away 1, leaving 53. Then let one side be 53 feet and the other 54 feet. As for the other rectangle, [I proceed] thus : Add together 53 and 54, making 107 feet : multiply this by 3, [making 321 ; take away 3], leaving 318. Then let one side be 318 feet and the other 3 feet. The area of the one will be 954 feet and of the other 2862 feet.[a]

Ibid. 24. 10, ed. Heiberg (Heron iv.) 422. 15–424. 5

In a right-angled triangle the sum of the area and the perimeter is 280 feet ; *to separate the sides and find the area.* I proceed thus : Always look for the factors ; now 280 can be factorized into 2 . 140, 4 . 70, 5 . 56, 7 . 40, 8 . 35, 10 . 28, 14 . 20. By inspection, we find 8 and 35 fulfil the requirements. For take one-eighth of 280, getting 35 feet. Take 2 from 8, leaving 6 feet. Then 35 and 6 together make 41 feet. Multiply this by itself, making 1681 feet. Now multiply 35 by 6, getting 210 feet. Multiply this by 8, getting 1680 feet. Take this away from the 1681, leaving 1, whose square root is 1. Now take the 41 and subtract 1, leaving 40, of which the half is 20 ; this is the perpendicular, 20 feet. And again take 41 and add 1, getting 42 feet, of which the half is 21 ; and let this be the base, 21 feet. And take 35 and subtract 6, leaving 29 feet. Now multiply

[a] The term " feet," πόδες, is used by Heron indiscriminately of lineal feet, square feet and the sum of numbers of lineal and square feet.

πόδες $\overline{κθ}$. ἄρτι θὲς τὴν κάθετον ἐπὶ τὴν βάσιν· ὧν ∠′ γίνεται πόδες $\overline{σι}$· καὶ αἱ τρεῖς πλευραὶ περιμετρούμεναι ἔχουσι πόδας $\bar{ο}$· ὁμοῦ σύνθες μετὰ τοῦ ἐμβαδοῦ· γίνονται πόδες $\overline{σπ}$.

---

[a] Heath (*H.G.M.* ii. 446-447) shows how this solution can be generalized. Let a, b be the sides of the triangle containing the right angle, c the hypotenuse, S the area of the triangle, r the radius of the inscribed circle; and let

$$s=\tfrac{1}{2}(a+b+c).$$

Then

$$S=rs=\tfrac{1}{2}ab,\ r+s=a+b,\ c=s-r.$$

Solving the first two equations, we have

$$\left.\begin{matrix}a\\b\end{matrix}\right\}=\tfrac{1}{2}[r+s\mp\sqrt{\{(r+s)^2-8rs\}}],$$

and this formula is actually used in the problem. The

the perpendicular and the base together, [getting 420], of which the half is 210 feet; and the three sides comprising the perimeter amount to 70 feet; add them to the area, getting 280 feet.[a]

method is to take the sum of the area and the perimeter $S+2s$, separated into its two obvious factors $s(r+2)$, to put $s(r+2)=A$ (the given number), and then to separate A into suitable factors to which s and $r+2$ may be equated. They must obviously be such that sr, the area, is divisible by 6.

In the given problem $A=280$, and the suitable factors are $r+2=8$, $s=35$, because r is then equal to 6 and rs is a multiple of 6. Then

$$a=\tfrac{1}{2}[6+35-\sqrt{\{(6+35)^2-8\,.\,6\,.\,35\}}]=\tfrac{1}{2}(41-1)=20,$$

$$b=\tfrac{1}{2}(41+1)=21,$$

$$c=35-6 \quad =29.$$

This problem is followed by three more of the same type.

XXIII. ALGEBRA : DIOPHANTUS

XXIII. ALGEBRA: DIOPHANTUS

(a) General

Anthol. Palat. xiv. 126, *The Greek Anthology*, ed. Paton (L.C.L.) v. 92-93

Οὗτός τοι Διόφαντον ἔχει τάφος· ἃ μέγα θαῦμα·
 καὶ τάφος ἐκ τέχνης μέτρα βίοιο λέγει.
ἕκτην κουρίζειν βιότου θεὸς ὤπασε μοίρην·
 δωδεκάτην δ' ἐπιθείς, μῆλα πόρεν χνοάειν·
τῇ δ' ἄφ' ἐφ' ἑβδομάτῃ τὸ γαμήλιον ἥψατο φέγγος,
 ἐκ δὲ γάμων πέμπτῳ παῖδ' ἐπένευσεν ἔτει.
αἰαῖ, τηλύγετον δειλὸν τέκος, ἥμισυ πατρὸς
 τοῦδε καὶ ἡ κρυερὸς μέτρον ἑλὼν βιότου.
πένθος δ' αὖ πισύρεσσι παρηγορέων ἐνιαυτοῖς
 τῇδε πόσου σοφίῃ τέρμ' ἐπέρησε βίου.

---

[a] There are in the *Anthology* 46 epigrams which are algebraical problems. Most of them (xiv. 116-146) were collected by Metrodorus, a grammarian who lived about A.D. 500, but their origin is obviously much earlier and many belong to a type described by Plato and the scholiast to the Charmides (*v.* vol. i. pp. 16, 20).

Problems in indeterminate analysis solved before the time of Diophantus include the Pythagorean and Platonic methods of finding numbers representing the sides of right-angled triangles (*v.* vol. i. pp. 90-95), the methods (also Pythagorean) of finding "side- and diameter-numbers" (vol. i. pp. 132-139), Archimedes' *Cattle Problem* (*v. supra*, pp. 202-205) and Heron's problems (*v. supra*, pp. 504-509).

XXIII. ALGEBRA: DIOPHANTUS

(*a*) General

Palatine Anthology [a] xiv. 126, *The Greek Anthology*, ed. Paton (L.C.L.) v. 92-93

This tomb holds Diophantus. Ah, what a marvel! And the tomb tells scientifically the measure of his life. God vouchsafed that he should be a boy for the sixth part of his life; when a twelfth was added, his cheeks acquired a beard; He kindled for him the light of marriage after a seventh, and in the fifth year after his marriage He granted him a son. Alas! late-begotten and miserable child, when he had reached the measure of half his father's life, the chill grave took him. After consoling his grief by this science of numbers for four years, he reached the end of his life.[b]

[a] Diophantus's surviving works and ancillary material are admirably edited by Tannery in two volumes of the Teubner series (Leipzig, 1895). There is a French translation by Paul Ver Eecke, *Diophante d'Alexandre* (Bruges, 1926). The history of Greek algebra as a whole is well treated by G. F. Nesselmann, *Die Algebra der Griechen*, and by T. L. Heath, *Diophantus of Alexandria: A Study in the History of Greek Algebra*, 2nd ed. 1910.

[b] If x was his age at death, then

$$\tfrac{1}{6}x + \tfrac{1}{12}x + \tfrac{1}{7}x + 5 + \tfrac{1}{2}x + 4 = x,$$

whence $$x = 84.$$

Theon Alex. *in Ptol. Math. Syn. Comm.* i. 10, ed. Rome, *Studi e Testi*, lxxii. (1936), 453. 4-6

Καθ' ἃ καὶ Διόφαντός φησι· "τῆς γὰρ μονάδος ἀμεταθέτου οὔσης καὶ ἑστώσης πάντοτε, τὸ πολλαπλασιαζόμενον εἶδος ἐπ' αὐτὴν αὐτὸ τὸ εἶδος ἔσται."

Dioph. *De polyg. num.* [5], Dioph. ed. Tannery i. 470. 27–472. 4

Καὶ ἀπεδείχθη τὸ παρὰ Ὑψικλεῖ ἐν ὅρῳ λεγόμενον, ὅτι, "ἐὰν ὦσιν ἀριθμοὶ ἀπὸ μονάδος ἐν ἴσῃ ὑπεροχῇ ὁποσοιοῦν, μονάδος μενούσης τῆς ὑπεροχῆς, ὁ σύμπας ἐστὶν ⟨τρίγωνος, δυάδος δέ⟩,[1] τετράγωνος, τριάδος δέ, πεντάγωνος· λέγεται δὲ τὸ πλῆθος τῶν γωνιῶν κατὰ τὸν δυάδι μείζονα τῆς ὑπεροχῆς, πλευραὶ δὲ αὐτῶν τὸ πλῆθος τῶν ἐκτεθέντων σὺν τῇ μονάδι."

Mich. Psell. *Epist.*, Dioph. ed. Tannery ii. 38. 22–39. 1

Περὶ δὲ τῆς Αἰγυπτιακῆς μεθόδου ταύτης Διόφαντος μὲν διέλαβεν ἀκριβέστερον, ὁ δὲ λογιώτατος Ἀνατόλιος τὰ συνεκτικώτατα μέρη τῆς κατ'

[1] τρίγωνος, δυάδος δέ add. Bachet.

[a] *Cf.* Dioph. ed. Tannery i. 8. 13-15. The word εἶδος, as will be seen in due course, is regularly used by Diophantus for a *term* of an equation.

Theon of Alexandria, *Commentary on Ptolemy's Syntaxis* i. 10, ed. Rome, *Studi e Testi*, lxxii. (1936), 453. 4-6

As Diophantus says: "The unit being without dimensions and everywhere the same, a term that is multiplied by it will remain the same term." [a]

Diophantus, *On Polygonal Numbers* [5], Dioph. ed. Tannery i. 470. 27–472. 4

There has also been proved what was stated by Hypsicles in a definition, namely, that "if there be as many numbers as we please beginning from 1 and increasing by the same common difference, then, when the common difference is 1, the sum of all the numbers is a triangular number; when 2, a square number; when 3, a pentagonal number [; and so on]. The number of angles is called after the number which exceeds the common difference by 2, and the sides after the number of terms including 1." [b]

Michael Psellus,[c] *A Letter*, Dioph. ed. Tannery ii. 38. 22–39. 1

Diophantus dealt more accurately with this Egyptian method, but the most learned Anatolius collected the most essential parts of the theory as stated by

[b] *i.e.*, the nth a-gonal number (1 being the first) is $\frac{1}{2}n\{2+(n-1)(a-2)\}$; *v.* vol. i. p. 98 n. *a*.

[c] Michael Psellus, "first of philosophers" in a barren age, flourished in the latter part of the eleventh century A.D. There has survived a book purporting to be by Psellus on arithmetic, music, geometry and astronomy, but it is clearly not all his own work. In the geometrical section it is observed that the most favoured method of finding the area of a circle is to take the mean between the inscribed and circumscribed squares, which would give $\pi=\sqrt{8}=2\cdot8284271$.

ἐκεῖνον ἐπιστήμης ἀπολεξάμενος ἑτέρως[1] *Διοφάντῳ συνοπτικώτατα προσεφώνησε.*

Dioph. *Arith.* i., Praef., Dioph. ed. Tannery i. 14. 25–16. 7

Νῦν δ' *ἐπὶ τὰς προτάσεις χωρήσωμεν ὁδόν, πλείστην ἔχοντες τὴν ἐπ' αὐτοῖς τοῖς εἴδεσι συνηθροισμένην ὕλην. πλείστων δ' ὄντων τῷ ἀριθμῷ καὶ μεγίστων τῷ ὄγκῳ, καὶ διὰ τοῦτο βραδέως βεβαιουμένων ὑπὸ τῶν παραλαμβανόντων αὐτὰ καὶ ὄντων ἐν αὐτοῖς δυσμνημονευτῶν, ἐδοκίμασα τὰ ἐν αὐτοῖς ἐπιδεχόμενα διαιρεῖν, καὶ μάλιστα τὰ ἐν ἀρχῇ ἔχοντα στοιχειώδως ἀπὸ ἁπλουστέρων ἐπὶ σκολιώτερα διελεῖν ὡς προσῆκεν. οὕτως γὰρ εὐόδευτα γενήσεται τοῖς ἀρχομένοις, καὶ ἡ ἀγωγὴ αὐτῶν μνημονευθήσεται, τῆς πραγματείας αὐτῶν ἐν τρισκαίδεκα βιβλίοις γεγενημένης.*

Ibid. v. 3, Dioph. ed. Tannery i. 316. 6

Ἔχομεν *ἐν τοῖς* Πορίσμασιν.

[1] *ἑτέρως* Tannery, *ἑτέρῳ* codd.

[a] The two passages cited before this one allow us to infer that Diophantus must have lived between Hypsicles and Theon, say 150 B.C. to A.D. 350. Before Tannery edited Michael Psellus's letter, there was no further evidence, but it is reasonable to infer from this letter that Diophantus was a contemporary of Anatolius, bishop of Laodicea about A.D. 280 (*v.* vol. i. pp. 2-3). For references by Plato and a scholiast to the Egyptian methods of reckoning, *v.* vol. i. pp. 16, 20.

[b] Of these thirteen books in the *Arithmetica*, only six

him in a different way and in the most concise form, and dedicated his work to Diophantus.[a]

Diophantus, *Arithmetica* i., Preface, Dioph. ed. Tannery i. 14. 25–16. 7

Now let us tread the path to the propositions themselves, which contain a great mass of material compressed into the several species. As they are both numerous and very complex to express, they are only slowly grasped by those into whose hands they are put, and include things hard to remember; for this reason I have tried to divide them up according to their subject-matter, and especially to place, as is fitting, the elementary propositions at the beginning in order that passage may be made from the simpler to the more complex. For thus the way will be made easy for beginners and what they learn will be fixed in their memory; the treatise is divided into thirteen books.[b]

Ibid. v. 3, Dioph. ed. Tannery i. 316. 6

We have it in the Porisms.[c]

have survived. Tannery suggests that the commentary on it written by Hypatia, daughter of Theon of Alexandria, extended only to these first six books, and that consequently little notice was taken of the remaining seven. There would be a parallel in Eutocius's commentaries on Apollonius's *Conics*. Nesselmann argues that the lost books came in the middle, but Tannery (Dioph. ii. xix-xxi) gives strong reasons for thinking it is the last and most difficult books which have been lost.

[c] Whether this collection of propositions in the Theory of Numbers, several times referred to in the *Arithmetica*, formed a separate treatise from, or was included in, that work is disputed; Hultsch and Heath take the former view, in my opinion judiciously, but Tannery takes the latter.

(*b*) Notation

Ibid. i., Praef., Dioph. ed. Tannery i. 2. 3–6. 21

Τὴν εὕρεσιν τῶν ἐν τοῖς ἀριθμοῖς προβλημάτων, τιμιώτατέ μοι Διονύσιε, γινώσκων σε σπουδαίως ἔχοντα μαθεῖν, [ὀργανῶσαι τὴν μέθοδον][1] ἐπειράθην, ἀρξάμενος ἀφ' ὧν συνέστηκε τὰ πράγματα θεμελίων, ὑποστῆσαι τὴν ἐν τοῖς ἀριθμοῖς φύσιν τε καὶ δύναμιν.

Ἴσως μὲν οὖν δοκεῖ τὸ πρᾶγμα δυσχερέστερον, ἐπειδὴ μήπω γνώριμόν ἐστιν, δυσέλπιστοι γὰρ εἰς κατόρθωσίν εἰσιν αἱ τῶν ἀρχομένων ψυχαί, ὅμως δ' εὐκατάληπτόν σοι γενήσεται, διά τε τὴν σὴν προθυμίαν καὶ τὴν ἐμὴν ἀπόδειξιν· ταχεῖα γὰρ εἰς μάθησιν ἐπιθυμία προσλαβοῦσα διδαχήν.

Ἀλλὰ καὶ πρὸς τοῖσδε γινώσκοντί σοι πάντας τοὺς ἀριθμοὺς συγκειμένους ἐκ μονάδων πλήθους τινός, φανερὸν καθέστηκεν εἰς ἄπειρον ἔχειν τὴν ὕπαρξιν. τυγχανόντων δὴ οὖν ἐν τούτοις

ὧν μὲν τετραγώνων, οἵ εἰσιν ἐξ ἀριθμοῦ τινος ἐφ' ἑαυτὸν πολυπλασιασθέντος· οὗτος δὲ ὁ ἀριθμὸς καλεῖται πλευρὰ τοῦ τετραγώνου·

ὧν δὲ κύβων, οἵ εἰσιν ἐκ τετραγώνων ἐπὶ τὰς αὐτῶν πλευρὰς πολυπλασιασθέντων,

ὧν δὲ δυναμοδυνάμεων, οἵ εἰσιν ἐκ τετραγώνων ἐφ' ἑαυτοὺς πολυπλασιασθέντων,

ὧν δὲ δυναμοκύβων, οἵ εἰσιν ἐκ τετραγώνων ἐπὶ

[1] ὀργανῶσαι τὴν μέθοδον om. Tannery, following the most ancient MS.

(b) Notation [a]

Ibid. i., Preface, Dioph. ed. Tannery i. 2. 3–6. 21

Knowing that you are anxious, my most esteemed Dionysius, to learn how to solve problems in numbers, I have tried, beginning from the foundations on which the subject is built, to set forth the nature and power in numbers.

Perhaps the subject will appear to you rather difficult, as it is not yet common knowledge, and the minds of beginners are apt to be discouraged by mistakes; but it will be easy for you to grasp, with your enthusiasm and my teaching; for keenness backed by teaching is a swift road to knowledge.

As you know, in addition to these things, that all numbers are made up of some multitude of units, it is clear that their formation has no limit. Among them are—

squares, which are formed when any number is multiplied by itself; the number itself is called the *side of the square* [b];

cubes, which are formed when squares are multiplied by their sides,

square-squares, which are formed when squares are multiplied by themselves;

square-cubes, which are formed when squares are

[a] This subject is admirably treated, with two original contributions, by Heath, *Diophantus of Alexandria*, 2nd ed., pp. 34-53. Diophantus's method of representing large numbers and fractions has already been discussed (vol. i. pp. 44-45). Among other abbreviations used by Diophantus are $\square^{\text{ος}}$, declined throughout its cases, for τετράγωνος; and ἴσ. (apparently ισ in the archetype) for the sign =, connecting two sides of an equation.

[b] Or "square root."

τοὺς ἀπὸ τῆς αὐτῆς αὐτοῖς πλευρᾶς κύβους πολυπλασιασθέντων,

ὧν δὲ κυβοκύβων, οἵ εἰσιν ἐκ κύβων ἐφ' ἑαυτοὺς πολυπλασιασθέντων,

ἔκ τε τῆς τούτων ἤτοι συνθέσεως ἢ ὑπεροχῆς ἢ πολυπλασιασμοῦ ἢ λόγου τοῦ πρὸς ἀλλήλους ἢ καὶ ἑκάστων πρὸς τὰς ἰδίας πλευρὰς συμβαίνει πλέκεσθαι πλεῖστα προβλήματα ἀριθμητικά· λύεται δὲ βαδίζοντός σου τὴν ὑποδειχθησομένην ὁδόν.

Ἐδοκιμάσθη οὖν ἕκαστος τούτων τῶν ἀριθμῶν συντομωτέραν ἐπωνυμίαν κτησάμενος στοιχεῖον τῆς ἀριθμητικῆς θεωρίας εἶναι· καλεῖται οὖν ὁ μὲν τετράγωνος δύναμις καὶ ἔστιν αὐτῆς σημεῖον τὸ Δ *ἐπίσημον ἔχον* Υ, Δ^{Y} *δύναμις·*

ὁ δὲ κύβος καὶ ἔστιν αὐτοῦ σημεῖον Κ *ἐπίσημον ἔχον* Υ, K^{Y} *κύβος·*

ὁ δὲ ἐκ τετραγώνου ἐφ' ἑαυτὸν πολυπλασιασθέντος δυναμοδύναμις καὶ ἔστιν αὐτοῦ σημεῖον δέλτα δύο ἐπίσημον ἔχοντα Υ, $\Delta^{Y}\Delta$ *δυναμοδύναμις·*

ὁ δὲ ἐκ τετραγώνου ἐπὶ τὸν ἀπὸ τῆς αὐτῆς αὐτῷ πλευρᾶς κύβου πολυπλασιασθέντος δυναμόκυβος καὶ ἔστιν αὐτοῦ σημεῖον τὰ ΔΚ *ἐπίσημον ἔχοντα* Υ, ΔK^{Y} *δυναμόκυβος·*

ὁ δὲ ἐκ κύβου ἑαυτὸν πολυπλασιάσαντος κυβόκυβος καὶ ἔστιν αὐτοῦ σημεῖον δύο κάππα ἐπίσημον ἔχοντα Υ, $K^{Y}K$ *κυβόκυβος.*

multiplied by the cubes formed from the same side ;

cube-cubes, which are formed when cubes are multiplied by themselves ;

and it is from the addition, subtraction, or multiplication of these numbers or from the ratio which they bear one to another or to their own sides that most arithmetical problems are formed ; you will be able to solve them if you follow the method shown below.

Now each of these numbers, which have been given abbreviated names, is recognized as an element in arithmetical science ; the *square* [of the unknown quantity][a] is called *dynamis* and its sign is Δ with the index Υ, that is Δ^{Υ} ;

the cube is called *cubus* and has for its sign K with the index Υ, that is K^{Υ} ;

the square multiplied by itself is called *dynamodynamis* and its sign is two deltas with the index Υ, that is $\Delta^{\Upsilon}\Delta$;

the square multiplied by the cube formed from the same root is called *dynamocubus* and its sign is ΔK with the index Υ, that is ΔK^{Υ} ;

the cube multiplied by itself is called *cubocubus* and its sign is two kappas with the index Υ, $K^{\Upsilon}K$.

[a] It is not here stated in so many words, but becomes obvious as the argument proceeds that δύναμις and its abbreviation are restricted to the square of the *unknown* quantity; the square of a determinate number is τετράγωνος. There is only one term, κύβος, for the cube both of a determinate and of the unknown quantity. The higher terms, when written in full as δυναμοδύναμις, δυναμόκυβος and κυβόκυβος, are used respectively for the fourth, fifth and sixth powers both of determinate quantities and of the unknown, but their abbreviations, and that for κύβος, are used to denote powers of the unknown only.

Ὁ δὲ μηδὲν τούτων τῶν ἰδιωμάτων κτησάμενος, ἔχων δὲ ἐν ἑαυτῷ πλῆθος μονάδων ἀόριστον, ἀριθμὸς καλεῖται καὶ ἔστιν αὐτοῦ σημεῖον τὸ ς.[a]

Ἔστι δὲ καὶ ἕτερον σημεῖον τὸ ἀμετάθετον τῶν ὡρισμένων, ἡ μονάς, καὶ ἔστιν αὐτῆς σημεῖον τὸ M ἐπίσημον ἔχον τὸ O, $\overset{\circ}{\mathrm{M}}$.

Ὥσπερ δὲ τῶν ἀριθμῶν τὰ ὁμώνυμα μόρια παρομοίως καλεῖται τοῖς ἀριθμοῖς, τοῦ μὲν τρία τὸ τρίτον, τοῦ δὲ τέσσαρα τὸ τέταρτον, οὕτως καὶ τῶν νῦν ἐπονομασθέντων ἀριθμῶν τὰ ὁμώνυμα μόρια κληθήσεται παρομοίως τοῖς ἀριθμοῖς·

τοῦ μὲν ἀριθμοῦ	τὸ ἀριθμοστόν,
τῆς δὲ δυνάμεως	τὸ δυναμοστόν,
τοῦ δὲ κύβου	τὸ κυβοστόν,
τῆς δὲ δυναμοδυνάμεως	τὸ δυναμοδυναμοστόν,
τοῦ δὲ δυναμοκύβου	τὸ δυναμοκυβοστόν,
τοῦ δὲ κυβοκύβου	τὸ κυβοκυβοστόν·

ἕξει δὲ ἕκαστον αὐτῶν ἐπὶ τὸ τοῦ ὁμωνύμου ἀριθμοῦ σημεῖον γραμμὴν Χ διαστέλλουσαν τὸ εἶδος.

---

[a] I am entirely convinced by Heath's argument, based on the Bodleian MS. of Diophantus and general considerations, that this symbol is really the first two letters of *ἀριθμός*; this suggestion brings the symbol into line with Diophantus's abbreviations for *δύναμις*, *κύβος*, and so on. It may be declined throughout its cases, *e.g.*, $ς^{\tilde{\omega}\nu}$ for the genitive plural, *infra* p. 552, line 5.

Diophantus has only one symbol for an unknown quantity, but his problems often lead to subsidiary equations involving other unknowns. He shows great ingenuity in isolating these subsidiary unknowns. In the translation I shall use

The number which has none of these characteristics, but merely has in it an undetermined multitude of units, is called *arithmos*, and its sign is ς $[x]$.[a]

There is also another sign denoting the invariable element in determinate numbers, the unit, and its sign is M with the index O, that is $\overset{\circ}{M}$.

As in the case of numbers the corresponding fractions are called after the numbers, a *third* being called after 3 and a *fourth* after 4, so the functions named above will have reciprocals called after them :

arithmos $[x]$	*arithmoston* $\left[\frac{1}{x}\right]$,
dynamis $[x^2]$	*dynamoston* $\left[\frac{1}{x^2}\right]$,
cubus $[x^3]$	*cuboston* $\left[\frac{1}{x^3}\right]$,
dynamodynamis $[x^4]$	*dynamodynamoston* $\left[\frac{1}{x^4}\right]$,
dynamocubus $[x^5]$	*dynamocuboston* $\left[\frac{1}{x^5}\right]$,
cubocubus $[x^6]$	*cubocuboston* $\left[\frac{1}{x^6}\right]$.

And each of these will have the same sign as the corresponding process, but with the mark ✕ to distinguish its nature.[b]

different letters for the different unknowns as they occur, for example, x, z, m.

Diophantus does not admit negative or zero values of the unknown, but positive fractional values are admitted.

[b] So the symbol is printed by Tannery, but there are many variants in the MSS.

Ibid. i., Praef., Dioph. ed. Tannery i. 12. 19-21

Λεῖψις ἐπὶ λεῖψιν πολλαπλασιασθεῖσα ποιεῖ ὕπαρξιν, λεῖψις δὲ ἐπὶ ὕπαρξιν ποιεῖ λεῖψιν, καὶ τῆς λείψεως σημεῖον Ψ ἐλλιπὲς κάτω νεῦον, ⋔.

(c) Determinate Equations

(i.) *Pure Determinate Equations*

Ibid. i., Praef., Dioph. ed. Tannery i. 14. 11-20

Μετὰ δὲ ταῦτα ἐὰν ἀπὸ προβλήματός τινος γένηται εἴδη τινὰ ἴσα εἴδεσι τοῖς αὐτοῖς, μὴ ὁμοπληθῆ δέ, ἀπὸ ἑκατέρων τῶν μερῶν δεήσει ἀφαιρεῖν τὰ ὅμοια ἀπὸ τῶν ὁμοίων, ἕως ἂν ἓν εἶδος ἑνὶ εἴδει ἴσον γένηται. ἐὰν δέ πως ἐν ὁποτέρῳ ἐνυπάρχῃ ἢ ἐν ἀμφοτέροις ἐν ἐλλείψεσί τινα εἴδη, δεήσει προσθεῖναι τὰ λείποντα εἴδη ἐν ἀμφοτέροις τοῖς μέρεσιν, ἕως ἂν ἑκατέρων τῶν μερῶν τὰ εἴδη ἐνυπάρχοντα γένηται, καὶ πάλιν ἀφελεῖν τὰ ὅμοια ἀπὸ τῶν ὁμοίων, ἕως ἂν ἑκατέρῳ τῶν μερῶν ἓν εἶδος καταλειφθῇ.

---

[a] Lit. "a deficiency multiplied by a deficiency makes a forthcoming."

[b] The sign has nothing to do with Ψ, but I see no reason why Diophantus should not have described it by means of Ψ.

Ibid. i., Preface, Dioph. ed. Tannery i. 12. 19-21

A *minus* multiplied by a *minus* makes a *plus*,[a] a *minus* multiplied by a *plus* makes a *minus*, and the sign of a *minus* is a truncated Ψ turned upside down, that is ⋔.[b]

(c) Determinate Equations

(i.) *Pure* [c] *Determinate Equations*

Ibid. i., Preface, Dioph. ed. Tannery i. 14. 11-20

Next, if there result from a problem an equation in which certain terms are equal to terms of the same species, but with different coefficients, it will be necessary to subtract like from like on both sides until one term is found equal to one term. If perchance there be on either side or on both sides any negative terms, it will be necessary to add the negative terms on both sides, until the terms on both sides become positive, and again to subtract like from like until on each side one term only is left.[d]

and cannot agree with Heath (*H.G.M.* ii. 459) that "the description is evidently interpolated." But Heath seems right in his conjecture, first made in 1885, that the sign ⋔ is a compendium for the root of the verb λείπειν, and is, in fact, a Λ with an I placed in the middle. When the sign is resolved in the manuscripts into a word, the dative λείψει is generally used, but there is no conclusive proof that Diophantus himself used this non-classical form.

[c] A *pure* equation is one containing only one power of the unknown, whatever its degree; a *mixed* equation contains more than one power of the unknown.

[d] In modern notation, Diophantus manipulates the equation until it is of the form $Ax^n = B$; as he recognizes only one value of x satisfying this equation, it is then considered solved.

(ii.) *Quadratic Equations*

Ibid. iv. 39, Dioph. ed. Tannery i. 298. 7–306. 8

Εὑρεῖν τρεῖς ἀριθμοὺς ὅπως ἡ ὑπεροχὴ τοῦ μείζονος καὶ τοῦ μέσου πρὸς τὴν ὑπεροχὴν τοῦ μέσου καὶ τοῦ ἐλάσσονος λόγον ἔχῃ δεδομένον, ἔτι δὲ καὶ σὺν δύο λαμβανόμενοι, ποιῶσι τετράγωνον.

Ἐπιτετάχθω δὴ τὴν ὑπεροχὴν τοῦ μείζονος καὶ τοῦ μέσου τῆς ὑπεροχῆς τοῦ μέσου καὶ τοῦ ἐλαχίστου εἶναι $\gamma^{\pi\lambda.}$.

Ἐπεὶ δὲ συναμφότερος ὁ μέσος καὶ ὁ ἐλάσσων ποιεῖ $\square^{ον}$, *ποιείτω* $\mathring{M}\,\bar{\delta}$. *ὁ ἄρα μέσος μείζων ἐστὶ δυάδος· ἔστω* $ς\,\bar{\alpha}\,\mathring{M}\,\bar{\beta}$. *ὁ ἄρα ἐλάχιστος ἔσται* $\mathring{M}\,\bar{\beta}\pitchfork ς\,\bar{\alpha}$.

Καὶ ἐπειδὴ ἡ ὑπεροχὴ τοῦ μείζονος καὶ τοῦ μέσου τῆς ὑπεροχῆς τοῦ μέσου καὶ τοῦ ἐλαχίστου $\gamma^{\pi\lambda.}$ *⟨ἐστί⟩,*[1] *καὶ ἡ ὑπεροχὴ τοῦ μέσου καὶ τοῦ ἐλαχίστου* $ς\,\bar{\beta}$, *ἡ ἄρα ὑπεροχὴ τοῦ μείζονος καὶ τοῦ μέσου ἔσται* $ς\,\bar{ϛ}$, *καὶ ὁ μείζων ἄρα ἔσται* $ς\,\bar{\zeta}\,\mathring{M}\,\bar{\beta}$.

Λοιπόν ἐστι δύο ἐπιτάγματα, τό τε συναμφότερον ⟨τὸν μείζονα καὶ τὸν ἐλάχιστον ποιεῖν $\square^{ον}$, *καὶ τὸ τὸν μείζονα⟩*[2] *καὶ τὸν μέσον ποιεῖν* $\square^{ον}$. *καὶ γίνεταί μοι διπλῆ ἡ ἰσότης·*

$$ς\,\bar{\eta}\,\mathring{M}\,\bar{\delta}\ \text{ἴσ.}\ \square^{ῳ},\quad \text{καὶ}\quad ς\,\bar{ϛ}\,\mathring{M}\,\bar{\delta}\ \text{ἴσ.}\ \square^{ῳ}.$$

καὶ διὰ τὸ τὰς $\mathring{M}$ *εἶναι τετραγωνικάς, εὐχερής ἐστιν ἡ ἴσωσις.*

[1] *ἐστί* add. Bachet.

[2] *τὸν μείζονα . . . τὸν μείζονα* add. Tannery.

(ii.) *Quadratic Equations* [a]

Ibid. iv. 39, Dioph. ed. Tannery i. 298. 7–306. 8

To find three numbers such that the difference of the greatest and the middle has to the difference of the middle and the least a given ratio, and further such that the sum of any two is a square.

Let it be laid down that the difference of the greatest and the middle has to the difference of the middle and the least the ratio 3 : 1.

Since the sum of the middle term and the least makes a square, let it be 4. Then the middle term >2. Let it be $x+2$. Then the least term $=2-x$.

And since the difference of the greatest and the middle has to the difference of the middle and the least the ratio 3 : 1, and the difference of the middle and the least is $2x$, therefore the difference of the greatest and the middle is $6x$, and therefore the greatest will be $7x+2$.

There remain two conditions, that the sum of the greatest and the least make a square and the sum of the greatest and the middle make a square. And I am left with the double equation [b]

$$8x+4=\text{a square},$$
$$6x+4=\text{a square}.$$

And as the units are squares, the equation is convenient to solve.

[a] The quadratic equation takes up only a small part of this problem, but the whole problem will give an excellent illustration of Diophantus's methods, and especially of his ingenuity in passing from one unknown to another. The geometrical solution of quadratic equations by the application of areas is treated in vol. i. pp. 192-215, and Heron's algebraical formula for solving quadratics, *supra*, pp. 502-505.

[b] For double equations, *v. infra* p. 543 n. *b*.

Πλάσσω ἀριθμοὺς δύο ἵνα ὁ ὑπ' αὐτῶν ᾖ ς β̄, καθὼς ἴσμεν διπλῆν ἰσότητα· ἔστω οὖν ς ∠' καὶ M̊ δ̄· καὶ γίνεται ὁ ς M̊ ρ̅ι̅β̅. ἐλθὼν ἐπὶ τὰς ὑποστάσεις, οὐ δύναμαι ἀφελεῖν ἀπὸ M̊ β̄ τὸν ς ᾱ τουτέστι τὰς M̊ ρ̅ι̅β̅· θέλω οὖν τὸν ς εὑρεθῆναι ἐλάττονα M̊ β̄, ὥστε καὶ ςς ϛ̄ M̊ δ̄ ἐλάσσονες ἔσονται M̊ ι̅ϛ̅. ἐὰν γὰρ ἡ δυὰς ἐπὶ ςς ϛ̄ γένηται καὶ προσλάβῃ M̊ δ̄, ποιεῖ M̊ ι̅ϛ̅.

Ἐπεὶ οὖν ζητῶ ςς η̄ M̊ δ̄ ἴσ. □ῳ καὶ ςς ϛ̄ M̊ δ̄ ἴσ. □ῳ, ἀλλὰ καὶ ὁ ἀπὸ τῆς δυάδος, τουτέστι M̊ δ̄, □ός ἐστι, γεγόνασι τρεῖς □οι, ςς η̄ M̊ δ̄, καὶ ςς ϛ̄ M̊ δ̄, καὶ M̊ δ̄, καὶ ἡ ὑπεροχὴ τοῦ μείζονος καὶ τοῦ μέσου τῆς ὑπεροχῆς τοῦ μέσου καὶ τοῦ ἐλαχίστου γον μέρος ἐστίν. ἀπῆκται οὖν μοι εἰς τὸ εὑρεῖν ⟨τρεῖς⟩[1] τετραγώνους, ὅπως ἡ ὑπεροχὴ τοῦ μείζονος καὶ τοῦ μέσου τῆς ὑπεροχῆς τοῦ μέσου καὶ τοῦ ἐλαχίστου γον μέρος ᾖ, ἔτι δὲ ὁ μὲν ἐλάχιστος ᾖ M̊ δ̄, ὁ δὲ μέσος ἐλάσσων M̊ ι̅ϛ̅.

[1] τρεῖς add. Bachet.

---

[a] If we put

$$8x+4=(p+q)^2,$$
$$6x+4=(p-q)^2,$$

on subtracting, $2x=4pq.$

Substituting $2p=\frac{1}{2}x$, $2q=4$ (*i.e.*, $p=\frac{1}{4}x$, $q=2$) in the first equation we get

$$8x+4=(\tfrac{1}{4}x+2)^2,$$

or $112x=x^2,$

whence $x=112.$

I form two numbers whose product is $2x$, according to what we know about a double equation ; let them be $\frac{1}{2}x$ and 4 ; and therefore $x = 112$.[a] But, returning to the conditions, I cannot subtract x, that is 112, from 2 ; I desire, then, that x be found <2, so that $6x + 4 < 16$. For $2 . 6 + 4 = 16$.

Then since I seek to make $8x + 4 =$ a square, and $6x + 4 =$ a square, while $2 . 2 = 4$ is a square, there are three squares, $8x + 4$, $6x + 4$, and 4, and the difference of the greatest and the middle is one-third[b] of the difference of the middle and least. My problem therefore resolves itself into finding three squares such that the difference of the greatest and the middle is one-third of the difference of the middle and least, and further such that the least $= 4$ and the middle <16.

This method of solving such equations is explicitly given by Diophantus in ii. 11, Dioph. ed. Tannery i. 96. 8-14: *ἔσται ἄρα ὁ μὲν* ϛ ᾱ $\overset{\circ}{\mathrm{M}}\,\bar{\beta}$, *ὁ δὲ* ϛ ᾱ $\overset{\circ}{\mathrm{M}}\,\bar{\gamma}$, *ἴσ.* □· *καὶ τοῦτο τὸ εἶδος καλεῖται διπλοϊσότης· ἰσοῦται δὲ τὸν τρόπον τοῦτον. ἰδὼν τὴν ὑπεροχήν, ζήτει δύο ἀριθμοὺς ἵνα τὸ ὑπ᾽ αὐτῶν ποιῇ τὴν ὑπεροχήν· εἰσὶ δὲ* $\overset{\circ}{\mathrm{M}}\,\delta$ *καὶ* $\overset{\circ}{\mathrm{M}}{}^{os}\,\delta^{\times}$. *τούτων ἤτοι τῆς ὑπεροχῆς τὸ* ∠′ *ἐφ᾽ ἑαυτὸ ἴσον ἐστὶ τῷ ἐλάσσονι, ἢ τῆς συνθέσεως τὸ* ∠′ *ἐφ᾽ ἑαυτὸ ἴσον τῷ μείζονι*—"The equations will then be $x + 2 =$ a square, $x + 3 =$ a square ; and this species is called a double equation. It is solved in this manner: observe the difference, and seek two [suitable] numbers whose product is equal to the difference ; they are 4 and $\frac{1}{4}$. Then, either the square of half the difference of these numbers is equated to the lesser, or the square of half the sum to the greater."

[b] The ratio of the differences in this subordinate problem has, of course, nothing to do with the ratio of the differences in the main problem; the fact that they are reciprocals may lead the casual reader to suspect an error.

Τετάχθω ὁ μὲν ἐλάχιστος $\overset{\circ}{\mathrm{M}}\,\delta$, ἡ δὲ τοῦ μέσου π^{λ} $\mathrm{S}\,\bar{\alpha}\,\overset{\circ}{\mathrm{M}}\,\bar{\beta}$· αὐτὸς ἄρα ἔσται ὁ $\square^{os}$, $\Delta^{Y}\bar{\alpha}\,\mathrm{S}\,\delta\,\overset{\circ}{\mathrm{M}}\,\delta$.

Ἐπεὶ οὖν ἡ ὑπεροχὴ τοῦ μείζονος καὶ τοῦ μέσου τῆς ὑπεροχῆς τοῦ μέσου καὶ τοῦ ἐλαχίστου γ^{ov} μέρος ἐστίν, καὶ ἔστιν ἡ ὑπεροχὴ τοῦ μέσου καὶ τοῦ ἐλαχίστου $\Delta^{Y}\bar{\alpha}\,\mathrm{S}\,\delta$, ὥστε ἡ ὑπεροχὴ τοῦ μεγίστου καὶ τοῦ μέσου ἔσται $\Delta^{Y}\gamma^{\chi}\,\mathrm{S}\,\bar{\alpha}\,\gamma^{\chi}$· καὶ ἔστιν ὁ μέσος $\Delta^{Y}\bar{\alpha}\,\mathrm{S}\,\delta\,\overset{\circ}{\mathrm{M}}\,\delta$· ὁ ἄρα μέγιστος ἔσται $\Delta^{Y}\bar{\alpha}\,\gamma^{\chi}\,\mathrm{S}\,\bar{\epsilon}\,\gamma^{\chi}\,\overset{\circ}{\mathrm{M}}\,\delta$ ἴσ. $\square^{\varphi}$· πάντα $\theta^{\kappa\iota s}$· Δ^{Y} ἄρα $\overline{\iota\beta}\,\mathrm{S}\,\overline{\mu\eta}\,\overset{\circ}{\mathrm{M}}\,\overline{\lambda\varsigma}$ ἴσ. $\square^{\varphi}$ καὶ τὸ δ^{ov} αὐτῶν· $\Delta^{Y}\bar{\gamma}\,\mathrm{S}\,\overline{\iota\beta}\,\overset{\circ}{\mathrm{M}}\,\bar{\theta}$ ἴσ. $\square^{\varphi}$.

Ἔτι δὲ θέλω τὸν μέσον τετράγωνον ἐλάσσονα εἶναι $\overset{\circ}{\mathrm{M}}\,\overline{\iota\varsigma}$, καὶ τὴν π^{λ} δηλαδὴ ἐλάσσονος $\overset{\circ}{\mathrm{M}}\,\delta$. ἡ δὲ πλευρὰ τοῦ μέσου ἐστὶν $\mathrm{S}\,\bar{\alpha}\,\overset{\circ}{\mathrm{M}}\,\bar{\beta}$· ἐλάττονές εἰσι $\overset{\circ}{\mathrm{M}}\,\delta$. καὶ κοινῶν ἀφαιρεθεισῶν τῶν $\beta\,\overset{\circ}{\mathrm{M}}$, ὁ S ἔσται ἐλάσσονος $\overset{\circ}{\mathrm{M}}\,\bar{\beta}$.

Γέγονεν οὖν μοι $\Delta^{Y}\bar{\gamma}\,\mathrm{S}\,\overline{\iota\beta}\,\overset{\circ}{\mathrm{M}}\,\bar{\theta}$ ἴσ. ποιῆσαι $\square^{\varphi}$. πλάσσω $\square^{ov}$ τινα ἀπὸ $\overset{\circ}{\mathrm{M}}\,\bar{\gamma}$ λειπουσῶν S τινας· καὶ γίνεται ὁ S ἔκ τινος ἀριθμοῦ $\varsigma^{\kappa\iota s}$ γενομένου καὶ προσλαβόντος τὸν $\overline{\iota\beta}$, τουτέστι τῆς ἰσώσεως τῆς $\mathrm{S}\,\overline{\iota\beta}$, καὶ μερισθέντος εἰς τὴν ὑπεροχὴν ᾗ ὑπερέχει ὁ ἀπὸ τοῦ ἀριθμοῦ $\square^{os}$ τῶν Δ^{Y} τῶν ἐν τῇ ἰσώσει $\bar{\gamma}$. ἀπῆκται οὖν μοι εἰς τὸ εὑρεῖν τινα ἀριθμόν, ὃς $\varsigma^{\kappa\iota s}$ γενόμενος καὶ προσλαβὼν $\overset{\circ}{\mathrm{M}}\,\overline{\iota\beta}$ καὶ μεριζόμενος εἰς τὴν ὑπεροχὴν ᾗ ὑπερέχει ὁ ἀπὸ τοῦ αὐτοῦ $\square^{os}$ τριάδος, ποιεῖ τὴν παραβολὴν ἐλάσσονος $\overset{\circ}{\mathrm{M}}\,\bar{\beta}$.

Let the least be taken as 4, and the side of the middle as $z+2$; then the square is z^2+4z+4.

Then since the difference of the greatest and the middle is one-third of the difference of the middle and the least, and the difference of the middle and the least is z^2+4z, so that the difference of the greatest and the least is $\frac{1}{3}z^2+1\frac{1}{3}z$, while the middle term is z^2+4z+4, therefore the greatest term $=1\frac{1}{3}z^2+5\frac{1}{3}z+4=$ a square. Multiply throughout by 9:

$$12z^2+48z+36=\text{a square};$$

and take the fourth part:

$$3z^2+12z+9=\text{a square}.$$

Further, I desire that the middle square <16, whence clearly its side <4. But the side of the middle square is $z+2$, and so $z+2<4$. Take away 2 from each side, and $z<2$.

My equation is now

$$3z^2+12z+9=\text{a square}.$$

$$=(mz-3)^2,\text{ say.}^{a}$$

Then
$$z=\frac{6m+12}{m^2-3},$$

and the equation to which my problem is now resolved is

$$\frac{6m+12}{m^2-3}<2,$$

i.e.,
$$<\frac{2}{1}.$$

[a] As a literal translation of the Greek at this point would be intolerably prolix, I have made free use of modern notation.

Ἔστω ὁ ζητούμενος ς ᾱ· οὕτως ϛ^κις γενόμενος καὶ προσλαβὼν M̊ ιβ̄, ποιεῖ ς ϛ̄ M̊ ιβ̄· ὁ δὲ ἀπ' αὐτοῦ □^ος, ⋔ M̊ γ̄, ποιεῖ Δ^{Y} ᾱ ⋔ M̊ γ̄. θέλω οὖν ς ϛ̄ M̊ ιβ̄ μερίζεσθαι εἰς Δ^{Y} ᾱ ⋔ M̊ γ̄ καὶ ποιεῖν τὴν παραβολὴν ἐλάσσονος M̊ β̄. ἀλλὰ καὶ ὁ β̄ μεριζόμενος εἰς M̊ ᾱ, ποιεῖ τὴν παραβολὴν β̄· ὥστε ς ϛ̄ M̊ ιβ̄ πρὸς Δ^{Y} ᾱ ⋔ M̊ γ̄ ἐλάσσονα λόγον ἔχουσιν ἤπερ β̄ πρὸς ᾱ.

Καὶ χωρίον χωρίῳ ἄνισον· ὁ ἄρα ὑπὸ ς ϛ̄ M̊ ιβ̄ καὶ M ᾱ ἐλάσσων ἐστὶν τοῦ ὑπὸ δυάδος καὶ Δ^{Y} ᾱ ⋔ M̊ γ̄, τουτέστιν ς ϛ̄ M̊ ιβ̄ ἐλάσσονές εἰσιν Δ^{Y} β̄ ⋔ M̊ ϛ̄. καὶ κοιναὶ προσκείσθωσαν αἱ M̊ ϛ̄. ς ϛ̄ M̊ ιη̄ ἐλάσσονες Δ^{Y} β̄.

Ὅταν δὲ τοιαύτην ἴσωσιν ἰσώσωμεν, ποιοῦμεν τῶν ς τὸ ∠′ ἐφ' ἑαυτό, γίνεται θ̄, καὶ τὰς Δ^{Y} β̄ ἐπὶ τὰς M̊ ιη̄, γίνονται λϛ̄· πρόσθες τοῖς θ̄, γίνονται με̄, ὧν π^λ· οὐκ ἔλαττόν ἐστι M̊ ζ̄· πρόσθες τὸ ἡμίσευμα τῶν ς· ⟨γίνεται οὐκ ἔλαττον M̊ ῑ· καὶ μέρισον εἰς τὰς Δ^{Y}·⟩[1] γίνεται οὐκ ἔλαττον M̊ ε̄.

Γέγονεν οὖν μοι Δ^{Y} γ̄ ς ιβ̄ M̊ θ̄ ἴσ. □^ψ τῷ ἀπὸ π^λ· M̊ γ̄ ⋔ ς ε̄, καὶ γίνεται ὁ ς M̊ $\frac{\kappa\beta}{\mu\beta}$ τουτέστιν $\frac{\iota\alpha}{\kappa\alpha}$.

Τέταχα δὲ τὴν τοῦ μέσου □^ου π^λ· ς ᾱ M̊ β̄·

[1] γίνεται . . . τὰς Δ^{Y} add. Tannery.

[a] This is not strictly true. But since $\sqrt{45}$ lies between 6 and 7, no smaller integral value than 7 will satisfy the conditions of the problem.

The inequality will be preserved when the term are cross-multiplied,

i.e., $$(6m + 12) . 1 < 2 . (m^2 - 3) ;$$

i.e., $$6m + 12 < 2m^2 - 6.$$

By adding 6 to both sides,

$$6m + 18 < 2m^2.$$

Those who favour a more exact terminology in the subjects studied in geometry, most excellent Pandrosion, use the term *problem* to mean an inquiry in which it is proposed to do or to construct something, and the term *theorem* an inquiry in which the consequences and necessary implications of certain hypotheses are investigated, but among the ancients some described them all as problems, some as theorems. Therefore he who propounds a theorem, no matter how he has become aware of it, must set for investigation the conclusion inherent in the premises, and in no other way would he correctly propound the theorem; but he who propounds a problem, even though he may require us to construct something which is in some way impossible, is free from blame and criticism. For it is part of the investigator's task to determine the conditions under which a problem is possible and impossible, and, if possible, when, how and in how many ways it is possible. But when a man professing to know mathematics sets an investigation wrongly he is not free from censure. For example, some persons professing to have learnt mathematics from you lately gave me a wrong enunciation of problems. It is desirable that I should state some of the proofs of

thirteen books. Pappus's commentary now survives only for Books v. and vi., which have been edited by A. Rome, *Studi e Testi*, liv., but it certainly covered the first six books and possibly all thirteen.

παραπλησίων αὐτοῖς ἀποδείξεις τινὰς ἡμᾶς εἰπεῖν εἰς ὠφέλειαν σήν τε καὶ τῶν φιλομαθούντων ἐν τῷ τρίτῳ τούτῳ τῆς Συναγωγῆς βιβλίῳ. τὸ μὲν οὖν πρῶτον τῶν προβλημάτων μέγας τις γεωμέτρης εἶναι δοκῶν ὥρισεν ἀμαθῶς. τὸ γὰρ δύο δοθεισῶν εὐθειῶν δύο μέσας ἀνάλογον ἐν συνεχεῖ ἀναλογίᾳ λαβεῖν ἔφασκεν εἰδέναι δι' ἐπιπέδου θεωρίας, ἠξίου δὲ καὶ ἡμᾶς ὁ ἀνὴρ ἐπισκεψαμένους ἀποκρίνασθαι περὶ τῆς ὑπ' αὐτοῦ γενηθείσης κατασκευῆς, ἥτις ἔχει τὸν τρόπον τοῦτον.

(*c*) The Theory of Means

Ibid. iii. 11. 28, ed. Hultsch 68. 17–70. 8

Τὸ δὲ δεύτερον τῶν προβλημάτων ἦν τόδε·

Ἐν ἡμικυκλίῳ τὰς τρεῖς μεσότητας λαβεῖν ἄλλος τις ἔφασκεν, καὶ ἡμικύκλιον τὸ ΑΒΓ ἐκθέμενος, οὗ κέντρον τὸ Ε, καὶ τυχὸν σημεῖον ἐπὶ τῆς ΑΓ λαβὼν τὸ Δ, καὶ ἀπ' αὐτοῦ πρὸς ὀρθὰς ἀγαγὼν τῇ ΕΓ τὴν ΔΒ, καὶ ἐπιζεύξας τὴν ΕΒ, καὶ αὐτῇ κάθετον ἀγαγὼν ἀπὸ τοῦ Δ τὴν ΔΖ, τὰς τρεῖς μεσότητας ἔλεγεν ἁπλῶς ἐν τῷ ἡμικυκλίῳ ἐκτεθεῖσθαι, τὴν μὲν ΕΓ μέσην ἀριθμητικήν, τὴν δὲ ΔΒ μέσην γεωμετρικήν, τὴν δὲ ΒΖ ἁρμονικήν.

Ὅτι μὲν οὖν ἡ ΒΔ μέση ἐστὶ τῶν ΑΔ, ΔΓ ἐν

[a] The method, as described by Pappus, but not reproduced here, does not actually solve the problem, but it does furnish a series of successive approximations to the solution, and deserves more kindly treatment than it receives from him.

these and of matters akin to them, for the benefit both of yourself and of other lovers of this science, in this third book of the *Collection*. Now the first of these problems was set wrongly by a person who was thought to be a great geometer. For, given two straight lines, he claimed to know how to find by plane methods two means in continuous proportion, and he even asked that I should look into the matter and comment on his construction, which is after this manner.[a]

(c) The Theory of Means

Ibid. iii. 11. 28, ed. Hultsch 68. 17–70. 8

The second of the problems was this :

A certain other [geometer] set the problem of exhibiting the three means in a semicircle. Describing a semicircle ΑΒΓ, with centre Ε, and taking any point Δ on ΑΓ, and from it drawing ΔΒ perpendicular to ΕΓ, and joining ΕΒ, and from Δ drawing ΔΖ perpendicular to it, he claimed simply that the three means had been set out in the semicircle, ΕΓ being the arithmetic mean, ΔΒ the geometric mean and ΒΖ the harmonic mean.



That ΒΔ is a mean between ΑΔ, ΔΓ in geometrical τῇ γεωμετρικῇ ἀναλογίᾳ, ἡ δὲ ΕΓ τῶν ΑΔ, ΔΓ ἐν τῇ ἀριθμητικῇ μεσότητι, φανερόν. ἔστι γὰρ ὡς μὲν ἡ ΑΔ πρὸς ΔΒ, ἡ ΔΒ πρὸς ΔΓ, ὡς δὲ ἡ ΑΔ πρὸς ἑαυτήν, οὕτως ἡ τῶν ΑΔ, ΑΕ ὑπεροχή, τουτέστιν ἡ τῶν ΑΔ, ΕΓ, πρὸς τὴν τῶν ΕΓ, ΓΔ. πῶς δὲ καὶ ἡ ΖΒ μέση ἐστὶν τῆς ἁρμονικῆς μεσότητος, ἢ ποίων εὐθειῶν, οὐκ εἶπεν, μόνον δὲ ὅτι τρίτη ἀνάλογόν ἐστιν τῶν ΕΒ, ΒΔ, ἀγνοῶν ὅτι ἀπὸ τῶν ΕΒ, ΒΔ, ΒΖ ἐν τῇ γεωμετρικῇ ἀναλογίᾳ οὐσῶν πλάσσεται ἡ ἁρμονικὴ μεσότης. δειχθήσεται γὰρ ὑφ' ἡμῶν ὕστερον ὅτι δύο αἱ ΕΒ καὶ τρεῖς αἱ ΔΒ καὶ μία ἡ ΒΖ ὡς μία συντεθεῖσαι ποιοῦσι τὴν μείζονα ἄκραν τῆς ἁρμονικῆς μεσότητος, δύο δὲ αἱ ΒΔ καὶ μία ἡ ΒΖ τὴν μέσην, μία δὲ ἡ ΒΔ καὶ μία ἡ ΒΖ τὴν ἐλαχίστην.

(*d*) The Paradoxes of Erycinus

Ibid. iii. 24. 58, ed. Hultsch 104. 14–106. 9

Τὸ δὲ τρίτον τῶν προβλημάτων ἦν τόδε.

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ ὀρθὴν



proportion, and EΓ between AΔ, ΔΓ in arithmetical proportion, is clear. For

$$\mathrm{A\Delta : \Delta B = \Delta B : \Delta\Gamma},\quad \text{[Eucl. iii. 31, vi. 8 Por.}$$

and

$$\begin{aligned}\mathrm{A\Delta : A\Delta} &= \mathrm{(A\Delta - AE) : (E\Gamma - \Gamma\Delta)}\\ &= \mathrm{(A\Delta - E\Gamma) : (E\Gamma - \Gamma\Delta)}.\end{aligned}$$

But how ZB is a harmonic mean, or between what kind of lines, he did not say, but only that it is a third proportional to EB, BΔ, not knowing that from EB, BΔ, BZ, which are in geometrical proportion, the harmonic mean is formed. For it will be proved by me later that a harmonic proportion can thus be formed—

$$\begin{aligned}\text{greater extreme} &= \mathrm{2EB + 3\Delta B + BZ},\\ \text{mean term} &= \mathrm{2B\Delta + BZ},\\ \text{lesser extreme} &= \mathrm{B\Delta + BZ}.\end{aligned}$$ [a]

(*d*) The Paradoxes of Erycinus

Ibid. iii. 24. 58, ed. Hultsch 104. 14–106. 9

The third of the problems was this :

Let ABΓ be a right-angled triangle having the

[a] It is Pappus, in fact, who seems to have erred, for BZ is a harmonic mean between AΔ, ΔΓ, as can thus be proved :

Since BΔE is a right-angled triangle in which ΔZ is perpendicular to BE,

$$\begin{aligned}
&\therefore & \mathrm{BZ : B\Delta} &= \mathrm{B\Delta : BE},\\
&\textit{i.e.,} & \mathrm{BZ . BE} &= \mathrm{B\Delta^2 = A\Delta . \Delta\Gamma}.\\
&\text{But} & \mathrm{BE} &= \tfrac{1}{2}\mathrm{(A\Delta + \Delta\Gamma)}\,;\\
&\therefore & \mathrm{BZ(A\Delta + \Delta\Gamma)} &= \mathrm{2A\Delta . \Delta\Gamma}.\\
&\therefore & \mathrm{A\Delta(BZ - \Delta\Gamma)} &= \mathrm{\Delta\Gamma(A\Delta - BZ)},\\
&\textit{i.e.,} & \mathrm{A\Delta : \Delta\Gamma} &= \mathrm{(A\Delta - BZ) : (BZ - \Delta\Gamma)},
\end{aligned}$$

and ∴ BZ is a harmonic mean between AΔ, ΔΓ.

The three means and the several extremes have thus been *ἔχον τὴν* B *γωνίαν, καὶ διήχθω τις ἡ* AΔ, *καὶ κείσθω τῇ* AB *ἴση ἡ* ΔE, *καὶ δίχα τμηθείσης τῆς* EA *κατὰ τὸ* Z, *καὶ ἐπιζευχθείσης τῆς* ZΓ *δεῖξαι συναμφοτέρας τὰς* ΔZΓ *δύο πλευρὰς ἐντὸς τοῦ τριγώνου μείζονας τῶν ἐκτὸς συναμφοτέρων τῶν* BAΓ *πλευρῶν.*

Καὶ ἔστι δῆλον. *ἐπεὶ γὰρ αἱ* ΓZA, *τουτέστιν αἱ* ΓZE, *τῆς* ΓA *μείζονές εἰσιν, ἴση δὲ ἡ* ΔE *τῇ* AB, *αἱ* ΓZΔ *ἄρα δύο τῶν* ΓAB *μείζονές εἰσιν. . . .*

'Αλλ' *ὅτι τοῦτο μέν, ὅπως ἄν τις ἐθέλοι προτείνειν, ἀπειραχῶς δείκνυται δῆλον, οὐκ ἄκαιρον δὲ καθολικώτερον περὶ τῶν τοιούτων προβλημάτων διαλαβεῖν ἀπὸ τῶν φερομένων παραδόξων* 'Ερυκίνου *προτείνοντας οὕτως.*

(*e*) The Regular Solids

Ibid. iii. 40. 75, ed. Hultsch 132. 1-11

Εἰς *τὴν δοθεῖσαν σφαῖραν ἐγγράψαι τὰ πέντε πολύεδρα, προγράφεται δὲ τάδε.*

"Εστω *ἐν σφαίρᾳ κύκλος ὁ* ABΓ, *οὗ διάμετρος ἡ* AΓ *καὶ κέντρον τὸ* Δ, *καὶ προκείσθω εἰς τὸν*

---

represented by *five* straight lines (EB, BZ, AΔ, ΔΓ, BΔ). Pappus takes *six* lines to solve the problem. He proceeds to define the seven other means and to form all ten means as linear functions of three terms in geometrical progression (*v.* vol. i. pp. 124-129).

angle B right, and let AΔ be drawn, and let ΔE be placed equal to AB, then if EA be bisected at Z, and ZΓ be joined, to show that the sum of the two sides ΔZ, ZΓ within the triangle, is greater than the sum of the two sides BA, AΓ without the triangle.

And it is obvious. For

since	$\Gamma Z + ZA > \Gamma A$,	[Eucl. i. 20
i.e.,	$\Gamma Z + ZE > \Gamma A$,	
while	$\Delta E = AB$,	
∴	[$\Gamma Z + ZE + E\Delta = \Gamma A + A$	
i.e.,]	$\Gamma Z + Z\Delta > \Gamma A + AB$. . . .	

But it is clear that this type of proposition, according to the different ways in which one might wish to propound it, can take an infinite number of forms, and it is not out of place to discuss such problems more generally and [first] to propound this from the so-called paradoxes of Erycinus.[a]

(*e*) The Regular Solids [b]

Ibid. iii. 40. 75, ed. Hultsch 132. 1-11

In order to inscribe the five polyhedra in a sphere, these things are premised.

Let ABΓ be a circle in a sphere, with diameter AΓ and centre Δ, and let it be proposed to insert in the

[a] Nothing further is known of Erycinus. The propositions next investigated are more elaborate than the one just solved.

[b] This is the fourth subject dealt with in *Coll.* iii. For the treatment of the subject by earlier geometers, *v.* vol. i. pp. 216-225, 466-479.

κύκλον ἐμβαλεῖν εὐθεῖαν παράλληλον μὲν τῇ ΑΓ διαμέτρῳ, ἴσην δὲ τῇ δοθείσῃ μὴ μείζονι οὔσῃ τῆς ΑΓ διαμέτρου.



Κείσθω τῇ ἡμισείᾳ τῆς δοθείσης ἴση ἡ ΕΔ, καὶ τῇ ΑΓ διαμέτρῳ ἤχθω πρὸς ὀρθὰς ἡ ΕΒ, τῇ δὲ ΑΓ παράλληλος ἡ ΒΖ, ἥτις ἴση ἔσται τῇ δοθείσῃ· διπλῆ γάρ ἐστιν τῆς ΕΔ, ἐπεὶ καὶ ἴση τῇ ΕΗ, παραλλήλου ἀχθείσης τῆς ΖΗ τῇ ΒΕ.

(*f*) Extension of Pythagoras's Theorem

Ibid. iv. 1. 1, ed. Hultsch 176. 9–178. 13

Ἐὰν ᾖ τρίγωνον τὸ ΑΒΓ, καὶ ἀπὸ τῶν ΑΒ, ΒΓ ἀναγραφῇ τυχόντα παραλληλόγραμμα τὰ ΑΒΔΕ, ΒΓΖΗ, καὶ αἱ ΔΕ, ΖΗ ἐκβληθῶσιν ἐπὶ τὸ Θ, καὶ ἐπιζευχθῇ ἡ ΘΒ, γίνεται τὰ ΑΒΔΕ, circle a chord parallel to the diameter ΑΓ and equal to a given straight line not greater than the diameter ΑΓ.

Let ΕΔ be placed equal to half of the given straight line, and let ΕΒ be drawn perpendicular to the diameter ΑΓ, and let ΒΖ be drawn parallel to ΑΓ; then shall this line be equal to the given straight line. For it is double of ΕΔ, inasmuch as ΖΗ, when drawn, is parallel to ΒΕ, and it is therefore equal to ΕΗ.[a]

(*f*) Extension of Pythagoras's Theorem

Ibid. iv. 1. 1, ed. Hultsch 176. 9–178. 13

If ΑΒΓ be a triangle, and on ΑΒ, ΒΓ there be described any parallelograms ΑΒΔΕ, ΒΓΖΗ, and ΔΕ, ΖΗ be produced to Θ, and ΘΒ be joined, then the

[a] This lemma gives the key to Pappus's method of inscribing the regular solids, which is to find in the case of each solid certain parallel circular sections of the sphere. In the case of the cube, for example, he finds two equal and parallel circular sections, the square on whose diameter is two-thirds of the square on the diameter of the sphere. The squares inscribed in these circles are then opposite faces of the cube. In each case the method of analysis and synthesis is followed. The treatment is quite different from Euclid's.

ΒΓΖΗ *παραλληλόγραμμα ἴσα τῷ ὑπὸ τῶν* ΑΓ, ΘΒ *περιεχομένῳ παραλληλογράμμῳ ἐν γωνίᾳ ᾗ ἐστιν ἴση συναμφοτέρῳ τῇ ὑπὸ* ΒΑΓ, ΔΘΒ.



Ἐκβεβλήσθω *γὰρ ἡ* ΘΒ *ἐπὶ τὸ* Κ, *καὶ διὰ τῶν* Α, Γ *τῇ* ΘΚ *παράλληλοι ἤχθωσαν αἱ* ΑΛ, ΓΜ, *καὶ ἐπεζεύχθω ἡ* ΛΜ. *ἐπεὶ παραλληλόγραμμόν ἐστιν τὸ* ΑΛΘΒ, *αἱ* ΑΛ, ΘΒ *ἴσαι τέ εἰσιν καὶ παράλληλοι. ὁμοίως καὶ αἱ* ΜΓ, ΘΒ *ἴσαι τέ εἰσιν καὶ παράλληλοι, ὥστε καὶ αἱ* ΛΑ, ΜΓ *ἴσαι τέ εἰσιν καὶ παράλληλοι. καὶ αἱ* ΛΜ, ΑΓ *ἄρα ἴσαι τε καὶ παράλληλοί εἰσιν· παραλληλόγραμμον ἄρα ἐστὶν τὸ* ΑΛΜΓ *ἐν γωνίᾳ τῇ ὑπὸ* ΛΑΓ, *τουτέστιν συναμφοτέρῳ τῇ τε ὑπὸ* ΒΑΓ *καὶ ὑπὸ* ΔΘΒ· *ἴση γάρ ἐστιν ἡ ὑπὸ* ΔΘΒ *τῇ ὑπὸ* ΛΑΒ. *καὶ ἐπεὶ τὸ* ΔΑΒΕ *παραλληλόγραμμον τῷ* ΛΑΒΘ *ἴσον ἐστίν (ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν* parallelograms ΑΒΔΕ, ΒΓΖΗ are together equal to the parallelogram contained by ΑΓ, ΘΒ in an angle which is equal to the sum of the angles ΒΑΓ, ΔΘΒ.

For let ΘΒ be produced to Κ, and through Α, Γ let ΑΛ, ΓΜ be drawn parallel to ΘΚ, and let ΛΜ be joined. Since ΑΛΘΒ is a parallelogram, ΑΛ, ΘΒ are equal and parallel. Similarly ΜΓ, ΘΒ are equal and parallel, so that ΛΑ, ΜΓ are equal and parallel. And therefore ΛΜ, ΑΓ are equal and parallel; therefore ΑΛΜΓ is a parallelogram in the angle ΛΑΓ, that is an angle equal to the sum of the angles ΒΑΓ and ΔΘΒ; for the angle ΔΘΒ = angle ΛΑΒ. And since the parallelogram ΔΑΒΕ is equal to the parallelogram ΛΑΒΘ (for they are upon the same base ΑΒ and in the τῆς ΑΒ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΒ, ΔΘ), ἀλλὰ τὸ ΛΑΒΘ τῷ ΛΑΚΝ ἴσον ἐστίν (ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν τῆς ΛΑ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΛΑ, ΘΚ), καὶ τὸ ΑΔΕΒ ἄρα τῷ ΛΑΚΝ ἴσον ἐστίν. διὰ τὰ αὐτὰ καὶ τὸ ΒΗΖΓ τῷ ΝΚΓΜ ἴσον ἐστίν· τὰ ἄρα ΔΑΒΕ, ΒΗΖΓ παραλληλόγραμμα τῷ ΛΑΓΜ ἴσα ἐστίν, τουτέστιν τῷ ὑπὸ ΑΓ, ΘΒ ἐν γωνίᾳ τῇ ὑπὸ ΛΑΓ, ἥ ἐστιν ἴση συναμφοτέραις ταῖς ὑπὸ ΒΑΓ, ΒΘΔ. καὶ ἔστι τοῦτο καθολικώτερον πολλῷ τοῦ ἐν τοῖς ὀρθογωνίοις ἐπὶ τῶν τετραγώνων ἐν τοῖς Στοιχείοις δεδειγμένου.

(*g*) Circles Inscribed in the ἄρβηλος

Ibid. iv. 14. 19, ed. Hultsch 208. 9-21

Φέρεται ἔν τισιν ἀρχαία πρότασις τοιαύτη· ὑποκείσθω τρία ἡμικύκλια ἐφαπτόμενα ἀλλήλων



τὰ ΑΒΓ, ΑΔΕ, ΕΖΓ, καὶ εἰς τὸ μεταξὺ τῶν περιφερειῶν αὐτῶν χωρίον, ὃ δὴ καλοῦσιν ἄρβηλον, same parallels AB, ΔΘ), while ΛABΘ = ΛAKN (for they are upon the same base ΛA and in the same parallels ΛA, ΘK), therefore AΔEB = ΛAKN. By the same reasoning BHZΓ = NKΓM ; therefore the parallelograms ΔABE, BHZΓ are together equal to ΛAΓM, that is, to the parallelogram contained by AΓ, ΘB in the angle ΛAΓ, which is equal to the sum of the angles BAΓ, BΘΔ. And this is much more general than the theorem proved in the *Elements* about the squares on right-angled triangles.[a]

(g) Circles Inscribed in the ἄρβηλος

Ibid. iv. 14. 19, ed. Hultsch 208. 9-21

There is found in certain [books] an ancient proposition to this effect : Let ABΓ, AΔE, EZΓ be supposed to be three semicircles touching each other, and in the space between their circumferences, which

[a] Eucl. i. 47, *v.* vol. i. pp. 178-185. In the case taken by Pappus, the first two parallelograms are drawn outwards and the third, equal to their sum, is drawn inwards. If the areas of parallelograms drawn outwards be regarded as of opposite sign to the areas of those drawn inwards, the theorem may be still further generalized, for the algebraic sum of the three parallelograms is equal to zero.

ἐγγεγράφθωσαν κύκλοι ἐφαπτόμενοι τῶν τε ἡμικυκλίων καὶ ἀλλήλων ὁσοιδηποτοῦν, ὡς οἱ περὶ κέντρα τὰ Η, Θ, Κ, Λ· *δεῖξαι τὴν μὲν ἀπὸ τοῦ* Η *κέντρου κάθετον ἐπὶ τὴν* ΑΓ *ἴσην τῇ διαμέτρῳ τοῦ περὶ τὸ* Η *κύκλου, τὴν δ' ἀπὸ τοῦ* Θ *κάθετον διπλασίαν τῆς διαμέτρου τοῦ περὶ τὸ* Θ *κύκλου, τὴν δ' ἀπὸ τοῦ* Κ *κάθετον τριπλασίαν, καὶ τὰς ἑξῆς καθέτους τῶν οἰκείων διαμέτρων πολλαπλασίας κατὰ τοὺς ἑξῆς μονάδι ἀλλήλων ὑπερέχοντας ἀριθμοὺς ἐπ' ἄπειρον γινομένης τῆς τῶν κύκλων ἐγγραφῆς.*

(*h*) Spiral on a Sphere

Ibid. iv. 35. 53-56, ed. Hultsch 264. 3–268. 21

Ὥσπερ ἐν ἐπιπέδῳ νοεῖται γινομένη τις ἕλιξ φερομένου σημείου κατ' εὐθείας κύκλον περιγραφούσης, καὶ ἐπὶ στερεῶν φερομένου σημείου κατὰ μιᾶς πλευρᾶς τιν' ἐπιφάνειαν περιγραφούσης, οὕτως δὴ καὶ ἐπὶ σφαίρας ἕλικα νοεῖν ἀκόλουθόν ἐστι γραφομένην τὸν τρόπον τοῦτον.

Ἔστω ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΚΛΜ *περὶ πόλον τὸ* Θ *σημεῖον, καὶ ἀπὸ τοῦ* Θ *μεγίστου*

[a] Three propositions (Nos. 4, 5 and 6) about the figure known as the *ἄρβηλος* from its resemblance to a leather-worker's knife are contained in Archimedes' *Liber Assumptorum*, which has survived in Arabic. They are included as particular cases in Pappus's exposition, which is unfortunately too long for reproduction here. Professor D'Arcy W. Thompson (*The Classical Review*, lvi. (1942), pp. 75-76) gives reasons for thinking that the *ἄρβηλος* was a saddler's knife rather than a shoemaker's knife, as usually translated.

is called the "leather-worker's knife," let there be inscribed any number whatever of circles touching both the semicircles and one another, as those about the centres Η, Θ, Κ, Λ; to prove that the perpendicular from the centre Η to ΑΓ is equal to the diameter of the circle about Η, the perpendicular from Θ is double of the diameter of the circle about Θ, the perpendicular from Κ is triple, and the [remaining] perpendiculars in order are so many times the diameters of the proper circles according to the numbers in a series increasing by unity, the inscription of the circles proceeding without limit.[a]

(*h*) Spiral on a Sphere [b]

Ibid. iv. 35. 53-56, ed. Hultsch 264. 3–268. 21

Just as in a plane a spiral is conceived to be generated by the motion of a point along a straight line revolving in a circle, and in solids [, such as the cylinder or cone,][c] by the motion of a point along one straight line describing a certain surface, so also a corresponding spiral can be conceived as described on the sphere after this manner.

Let ΚΛΜ be a great circle in a sphere with pole Θ, and from Θ let the quadrant of a great circle ΘΝΚ be

[b] After leaving the ἄρβηλος, Pappus devotes the remainder of Book iv. to solutions of the problems of doubling the cube, squaring the circle and trisecting an angle. This part has been frequently cited already (*v.* vol. i. pp. 298-309, 336-363). His treatment of the spiral is noteworthy because his method of proof is often markedly different from that of Archimedes; and in the course of it he makes this interesting digression.

[c] Some such addition is necessary, as Commandinus, Chasles and Hultsch realized.

κύκλου τεταρτημόριον γεγράφθω τὸ ΘΝΚ, *καὶ ἡ μὲν* ΘΝΚ *περιφέρεια, περὶ τὸ* Θ *μένον φερομένη κατὰ τῆς ἐπιφανείας ὡς ἐπὶ τὰ* Λ, Μ *μέρη,*



ἀποκαθιστάσθω πάλιν ἐπὶ τὸ αὐτό, σημεῖον δέ τι φερόμενον ἐπ᾽ αὐτῆς ἀπὸ τοῦ Θ *ἐπὶ τὸ* K *παραγινέσθω· γράφει δή τινα ἐπὶ τῆς ἐπιφανείας ἕλικα, οἵα ἐστὶν ἡ* ΘΟΙΚ, *καὶ ἥτις ἂν ἀπὸ τοῦ* Θ *γραφῇ μεγίστου κύκλου περιφέρεια, πρὸς τὴν* ΚΛ *περιφέρειαν λόγον ἔχει ὃν ἡ* ΛΘ *πρὸς τὴν* ΘΟ· *λέγω δὴ ὅτι, ἂν ἐκτεθῇ τεταρτημόριον τοῦ μεγίστου ἐν τῇ σφαίρᾳ κύκλου τὸ* ΑΒΓ *περὶ κέντρον τὸ* Δ, *καὶ ἐπιζευχθῇ ἡ* ΓΑ, *γίνεται ὡς ἡ τοῦ ἡμισφαιρίου ἐπιφάνεια πρὸς τὴν μεταξὺ τῆς* ΘΟΙΚ *ἕλικος καὶ τῆς* ΚΝΘ *περιφερείας ἀπολαμβανομένην ἐπιφάνειαν, οὕτως ὁ* ΑΒΓΔ *τομεὺς πρὸς τὸ* ΑΒΓ *τμῆμα.*

Ἤχθω γὰρ ἐφαπτομένη τῆς περιφερείας ἡ ΓΖ, *καὶ περὶ κέντρον τὸ* Γ *διὰ τοῦ* Α *γεγράφθω περιφέρεια ἡ* ΑΕΖ· *ἴσος ἄρα ὁ* ΑΒΓΔ *τομεὺς τῷ* described, and, Θ remaining stationary, let the arc ΘNK revolve about the surface in the direction Λ, M



and again return to the same place, and [in the same time] let a point on it move from Θ to K ; then it will describe on the surface a certain spiral, such as ΘOIK, and if any arc of a great circle be drawn from Θ [cutting the circle KΛM first in Λ and the spiral first in O], its circumference [a] will bear to the arc KΛ the same ratio as ΛΘ bears to ΘO. I say then that if a quadrant ΑΒΓ of a great circle in the sphere be set out about centre Δ, and ΓΑ be joined, the surface of the hemisphere will bear to the portion of the surface intercepted between the spiral ΘOIK and the arc KNΘ the same ratio as the sector ΑΒΓΔ bears to the segment ΑΒΓ.

For let ΓΖ be drawn to touch the circumference, and with centre Γ let there be described through A the arc ΑΕΖ ; then the sector ΑΒΓΔ is equal to the

[a] Or, of course, the circumference of the circle KΛM to which it is equal.

ΑΕΖΓ (διπλασία μὲν γὰρ ἡ πρὸς τῷ Δ γωνία τῆς ὑπὸ ΑΓΖ, ἥμισυ δὲ τὸ ἀπὸ ΔΑ τοῦ ἀπὸ ΑΓ)· ὅτι ἄρα καὶ ὡς αἱ εἰρημέναι ἐπιφάνειαι πρὸς ἀλλήλας, οὕτως ὁ ΑΕΖΓ τομεὺς πρὸς τὸ ΑΒΓ τμῆμα.

Ἔστω, ὃ μέρος ἡ ΚΛ περιφέρεια τῆς ὅλης τοῦ κύκλου περιφερείας, καὶ τὸ αὐτὸ μέρος περιφέρεια ἡ ΖΕ τῆς ΖΑ, καὶ ἐπεζεύχθω ἡ ΕΓ· ἔσται δὴ καὶ ἡ ΒΓ τῆς ΑΒΓ τὸ αὐτὸ μέρος. ὃ δὲ μέρος ἡ ΚΛ τῆς ὅλης περιφερείας, τὸ αὐτὸ καὶ ἡ ΘΟ τῆς ΘΟΛ. καὶ ἔστιν ἴση ἡ ΘΟΛ τῇ ΑΒΓ· ἴση ἄρα καὶ ἡ ΘΟ τῇ ΒΓ. γεγράφθω περὶ πόλον τὸν Θ διὰ τοῦ Ο περιφέρεια ἡ ΟΝ, καὶ διὰ τοῦ Β περὶ τὸ Γ κέντρον ἡ ΒΗ. ἐπεὶ οὖν ὡς ἡ ΛΚΘ σφαιρικὴ ἐπιφάνεια πρὸς τὴν ΟΘΝ, ἡ ὅλη τοῦ ἡμισφαιρίου ἐπιφάνεια πρὸς τὴν τοῦ τμήματος ἐπιφάνειαν οὗ ἡ ἐκ τοῦ πόλου ἐστὶν ἡ ΘΟ, ὡς δ' ἡ τοῦ ἡμισφαιρίου ἐπιφάνεια πρὸς τὴν τοῦ τμήματος ἐπιφάνειαν, οὕτως ἐστὶν τὸ ἀπὸ τῆς τὰ Θ, Λ ἐπιζευγνυούσης εὐθείας τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ἐπὶ τὰ Θ, Ο, ἢ τὸ ἀπὸ τῆς ΕΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΒΓ, ἔσται ἄρα καὶ ὡς ὁ ΚΛΘ τομεὺς ἐν τῇ ἐπιφανείᾳ πρὸς τὸν ΟΘΝ, οὕτως ὁ ΕΖΓ τομεὺς πρὸς τὸν ΒΗΓ. ὁμοίως δείξομεν ὅτι καὶ ὡς πάντες οἱ ἐν τῷ ἡμισφαιρίῳ τομεῖς οἱ ἴσοι τῷ ΚΛΘ, οἱ

---

[a] Pappus's method of proof is, in the Archimedean manner, to circumscribe about the surface to be measured a figure consisting of sectors on the sphere, and to circumscribe about the segment ΑΒΓ a figure consisting of sectors of circles ; in the same way figures can be inscribed. The divisions need, therefore, to be as numerous as possible. The conclusion can then be reached by the method of exhaustion.

sector ΑΕΖΓ (for angle ΑΔΓ = 2 . angle ΑΓΖ, and $\Delta A^2 = \frac{1}{2}A\Gamma^2$) ; I say, then, that the ratio of the aforesaid surfaces one towards the other is the same as the ratio of the sector ΑΕΖΓ to the segment ΑΒΓ.

Let ΖΕ be the same [small] [a] part of ΖΑ as ΚΛ is of the whole circumference of the circle, and let ΕΓ be joined ; then the arc ΒΓ will be the same part of the arc ΑΒΓ.[b] But ΘΟ is the same part of ΘΟΛ as ΚΛ is of the whole circumference [*by the property of the spiral*]. And arc ΘΟΛ = arc ΑΒΓ [*ex constructione*]. Therefore ΘΟ = ΒΓ. Let there be described through Ο about the pole Θ the arc ΟΝ, and through Β about centre Γ the arc ΒΗ. Then since the [sector of the] spherical surface ΛΚΘ bears to the [sector] ΟΘΝ the same ratio as the whole surface of the hemisphere bears to the surface of the segment with pole Θ and circular base ΟΝ,[c] while the surface of the hemisphere bears to the surface of the segment the same ratio as $\Theta\Lambda^2$ to ΘO^2,[d] or $E\Gamma^2$ to $B\Gamma^2$, therefore the sector ΚΛΘ on the surface [of the sphere] bears to ΟΘΝ the same ratio as the sector ΕΖΓ [in the plane] bears to the sector ΒΗΓ. Similarly we may show that all the sectors [on the surface of] the hemi-

[b] For arc ΖΑ : arc ΖΕ = angle ΖΓΑ : angle ΖΓΕ. But angle ΖΓΑ = ½ . angle ΑΔΓ, and angle ΖΓΕ = ½ . angle ΒΔΓ [Eucl. iii. 32, 20]. ∴ arc ΖΑ : arc ΖΕ = arc ΑΒΓ : arc ΒΓ.

[c] Because the arc ΛΚ is the same part of the circumference ΚΛΜ as the arc ΟΝ is of its circumference.

[d] The square on ΘΛ is double the square on the radius of the hemisphere, and therefore half the surface of the hemisphere is equal to a circle of radius ΘΛ [Archim. *De sph. et cyl.* i. 33] ; and the surface of the segment is equal to a circle of radius ΘΟ [*ibid.* i. 42] ; and as circles are to one another as the squares on their radii [Eucl. xii. 2], the surface of the hemisphere bears to the surface of the segment the ratio $\Theta\Lambda^2 : \Theta O^2$.

εἰσιν ἡ ὅλη τοῦ ἡμισφαιρίου ἐπιφάνεια, πρὸς τοὺς περιγραφομένους περὶ τὴν ἕλικα τομέας ὁμοταγεῖς τῷ ΟΘΝ, *οὕτως πάντες οἱ ἐν τῷ* ΑΖΓ *τομεῖς οἱ ἴσοι τῷ* ΕΖΓ, *τουτέστιν ὅλος ὁ* ΑΖΓ *τομεύς, πρὸς τοὺς περιγραφομένους περὶ τὸ* ΑΒΓ *τμῆμα τοὺς ὁμοταγεῖς τῷ* ΓΒΗ. *τῷ δ' αὐτῷ τρόπῳ δειχθήσεται καὶ ὡς ἡ τοῦ ἡμισφαιρίου ἐπιφάνεια πρὸς τοὺς ἐγγραφομένους τῇ ἕλικι τομέας, οὕτως ὁ* ΑΖΓ *τομεὺς πρὸς τοὺς ἐγγραφομένους τῷ* ΑΒΓ *τμήματι τομέας, ὥστε καὶ ὡς ἡ τοῦ ἡμισφαιρίου ἐπιφάνεια πρὸς τὴν ὑπὸ τῆς ἕλικος ἀπολαμβανομένην ἐπιφάνειαν, οὕτως ὁ* ΑΖΓ *τομεύς, τουτέστιν τὸ* ΑΒΓΔ *τεταρτημόριον, πρὸς τὸ* ΑΒΓ *τμῆμα. συνάγεται δὲ διὰ τούτου ἡ μὲν ἀπὸ τῆς ἕλικος ἀπολαμβανομένη ἐπιφάνεια πρὸς τὴν* ΘΝΚ *περιφέρειαν ὀκταπλασία τοῦ* ΑΒΓ *τμήματος (ἐπεὶ καὶ ἡ τοῦ ἡμισφαιρίου ἐπιφάνεια τοῦ* ΑΒΓΔ *τομέως), ἡ δὲ μεταξὺ τῆς ἕλικος καὶ τῆς βάσεως τοῦ ἡμισφαιρίου ἐπιφάνεια ὀκταπλασία τοῦ* ΑΓΔ *τριγώνου, τουτέστιν ἴση τῷ ἀπὸ τῆς διαμέτρου τῆς σφαίρας τετραγώνῳ.*

---

[a] This would be proved by the method of exhaustion. It is proof of the great part played by this method in Greek geometry that Pappus can take its validity for granted.

[b] For the surface of the hemisphere is double of the circle of radius ΑΔ [Archim. *De sph. et cyl.* i. 33] and the sector ΑΒΓΔ is one-quarter of the circle of radius ΑΔ.

[c] For the surface between the spiral and the base of the hemisphere is equal to the surface of the hemisphere less the surface cut off from the spiral in the direction ΘΝΚ,

i.e. Surface in question = surface of hemisphere − 8 segment ΑΒΓ,

= 8 sector ΑΒΓΔ − 8 segment ΑΒΓ

sphere equal to ΚΛΘ, together making up the whole surface of the hemisphere, bear to the sectors described about the spiral similar to ΟΘΝ the same ratio as the sectors in ΑΖΓ equal to ΕΖΓ, that is the whole sector ΑΖΓ, bear to the sectors described about the segment ΑΒΓ similar to ΓΒΗ. In the same manner it may be shown that the surface of the hemisphere bears to the [sum of the] sectors inscribed in the spiral the same ratio as the sector ΑΖΓ bears to the [sum of the] sectors inscribed in the segment ΑΒΓ, so that the surface of the hemisphere bears to the surface cut off by the spiral the same ratio as the sector ΑΖΓ, that is the quadrant ΑΒΓΔ, bears to the segment ΑΒΓ.[a] From this it may be deduced that the surface cut off from the spiral in the direction of the arc ΘΝΚ is eight times the segment ΑΒΓ (since the surface of the hemisphere is eight times the sector ΑΒΓΔ),[b] while the surface between the spiral and the base of the hemisphere is eight times the triangle ΑΓΔ, that is, it is equal to the square on the diameter of the sphere.[c]

$$= 8 \text{ triangle } \mathrm{A\Gamma\Delta}$$
$$= 4\mathrm{A\Delta}^2$$
$$= (2\mathrm{A\Delta})^2,$$

and 2ΑΔ is the diameter of the sphere.

Heath (*H.G.M.* ii. 384-385) gives for this elegant proposition an analytical equivalent, which I have adapted to the Greek lettering. If ρ, ω are the spherical co-ordinates of Ο with reference to Θ as pole and the arc ΘΝΚ as polar axis, the equation of the spiral is $\omega = 4\rho$. If A is the area of the spiral to be measured, and the radius of the sphere is taken as unity, we have as the element of area

$$dA = d\omega(1 - \cos\rho) = 4d\rho(1 - \cos\rho).$$

(i) Isoperimetric Figures

Ibid. v., Praef. 1-3, ed. Hultsch 304. 5–308. 5

Σοφίας καὶ μαθημάτων ἔννοιαν ἀρίστην μὲν καὶ τελειοτάτην ἀνθρώποις θεὸς ἔδωκεν, ὦ κράτιστε Μεγεθίον, ἐκ μέρους δέ που καὶ τῶν ἀλόγων ζῴων μοῖραν ἀπένειμέν τισιν. ἀνθρώποις μὲν οὖν ἅτε λογικοῖς οὖσι τὸ μετὰ λόγου καὶ ἀποδείξεως παρέσχεν ἕκαστα ποιεῖν, τοῖς δὲ λοιποῖς ζῴοις ἄνευ λόγου τὸ χρήσιμον καὶ βιωφελὲς αὐτὸ μόνον κατά τινα φυσικὴν πρόνοιαν ἑκάστοις ἔχειν ἐδωρήσατο. τοῦτο δὲ μάθοι τις ἂν ὑπάρχον καὶ ἐν ἑτέροις μὲν πλείστοις γένεσιν τῶν ζῴων, οὐχ ἥκιστα δὲ κἀν ταῖς μελίσσαις· ἥ τε γὰρ εὐταξία καὶ πρὸς τὰς ἡγουμένας τῆς ἐν αὐταῖς πολιτείας εὐπείθεια θαυμαστή τις, ἥ τε φιλοτιμία καὶ καθαριότης ἡ περὶ τὴν τοῦ μέλιτος συναγωγὴν καὶ ἡ περὶ τὴν φυλακὴν αὐτοῦ πρόνοια καὶ οἰκονομία πολὺ μᾶλλον θαυμασιωτέρα. πεπιστευμέναι γάρ, ὡς εἰκός, παρὰ θεῶν κομίζειν τοῖς τῶν ἀνθρώπων μουσικοῖς

$$\therefore \qquad A=\int_0^{\frac{1}{2}\pi} 4d\rho(1-\cos\rho)$$
$$=2\pi-4.$$
$$\therefore \qquad \frac{A}{\text{surface of hemisphere}}=\frac{2\pi-4}{2\pi}$$
$$=\frac{\frac{1}{4}\pi-\frac{1}{2}}{\frac{1}{4}\pi}$$
$$=\frac{\text{segment AB}\Gamma}{\text{sector AB}\Gamma\Delta}.$$

[a] The whole of Book v. in Pappus's *Collection* is devoted to isoperimetry. The first section follows closely the exposition of Zenodorus as given by Theon (*v. supra*, pp. 386-395).

(i) Isoperimetric Figures [a]

Ibid. v., Preface 1-3, ed. Hultsch 304. 5–308. 5

Though God has given to men, most excellent Megethion, the best and most perfect understanding of wisdom and mathematics, He has allotted a partial share to some of the unreasoning creatures as well. To men, as being endowed with reason, He granted that they should do everything in the light of reason and demonstration, but to the other unreasoning creatures He gave only this gift, that each of them should, in accordance with a certain natural forethought, obtain so much as is needful for supporting life. This instinct may be observed to exist in many other species of creatures, but it is specially marked among bees. Their good order and their obedience to the queens who rule in their commonwealths are truly admirable, but much more admirable still is their emulation, their cleanliness in the gathering of honey, and the forethought and domestic care they give to its protection. Believing themselves, no doubt, to be entrusted with the task of bringing from the gods to the more cultured part of mankind a share of

except that Pappus includes the proposition that *of all circular segments having the same circumference the semicircle is the greatest.* The second section compares the volumes of solids whose surfaces are equal, and is followed by a digression, already quoted (*supra*, pp. 194-197) on the semi-regular solids discovered by Archimedes. After some propositions on the lines of Archimedes' *De sph. et cyl.*, Pappus finally proves that *of regular solids having equal surfaces, that is greatest which has most faces.*

The introduction, here cited, on the sagacity of bees is rightly praised by Heath (*H.G.M.* ii. 389) as an example of the good style of the Greek mathematicians when freed from the restraints of technical language.

τῆς ἀμβροσίας ἀπόμοιράν τινα ταύτην οὐ μάτην ἐκχεῖν εἰς γῆν καὶ ξύλον ἤ τινα ἑτέραν ἀσχήμονα καὶ ἄτακτον ὕλην ἠξίωσαν, ἀλλ' ἐκ τῶν ἡδίστων ἐπὶ γῆς φυομένων ἀνθέων συνάγουσαι τὰ κάλλιστα κατασκευάζουσιν ἐκ τούτων εἰς τὴν τοῦ μέλιτος ὑποδοχὴν ἀγγεῖα τὰ καλούμενα κηρία πάντα μὲν ἀλλήλοις ἴσα καὶ ὅμοια καὶ παρακείμενα, τῷ δὲ σχήματι ἑξάγωνα.

Τοῦτο δ' ὅτι κατά τινα γεωμετρικὴν μηχανῶνται πρόνοιαν οὕτως ἂν μάθοιμεν. πάντως μὲν γὰρ ᾤοντο δεῖν τὰ σχήματα παρακεῖσθαί τε ἀλλήλοις καὶ κοινωνεῖν κατὰ τὰς πλευράς, ἵνα μὴ τοῖς μεταξὺ παραπληρώμασιν ἐμπίπτοντά τινα ἕτερα λυμήνηται αὐτῶν τὰ ἔργα· τρία δὲ σχήματα εὐθύγραμμα τὸ προκείμενον ἐπιτελεῖν ἐδύνατο, λέγω δὲ τεταγμένα τὰ ἰσόπλευρά τε καὶ ἰσογώνια, τὰ δ' ἀνόμοια ταῖς μελίσσαις οὐκ ἤρεσεν. τὰ μὲν οὖν ἰσόπλευρα τρίγωνα καὶ τετράγωνα καὶ τὰ ἑξάγωνα χωρὶς ἀνομοίων παραπληρωμάτων ἀλλήλοις δύναται παρακείμενα τὰς πλευρὰς κοινὰς ἔχειν [ταῦτα[1] γὰρ δύναται συμπληροῦν ἐξ αὐτῶν τὸν περὶ τὸ αὐτὸ σημεῖον τόπον, ἑτέρῳ δὲ τεταγμένῳ σχήματι τοῦτο ποιεῖν ἀδύνατον].[1] ὁ γὰρ περὶ τὸ αὐτὸ σημεῖον τόπος ὑπὸ ϛ̄ μὲν τριγώνων ἰσοπλεύρων καὶ διὰ ϛ̄ γωνιῶν, ὧν ἑκάστη διμοίρου ἐστὶν ὀρθῆς, συμπληροῦται, τεσσάρων δὲ τετραγώνων καὶ δ̄ ὀρθῶν γωνιῶν [αὐτοῦ],[2] τριῶν δὲ ἑξαγώνων καὶ ἑξαγώνου γωνιῶν τριῶν, ὧν ἑκάστη ᾱ γʹ ἐστὶν ὀρθῆς. πεντάγωνα δὲ τὰ τρία μὲν οὐ φθάνει συμπληρῶσαι τὸν περὶ τὸ αὐτὸ σημεῖον τόπον, ὑπερβάλλει δὲ τὰ τέσσαρα· τρεῖς μὲν γὰρ τοῦ πενταγώνου γωνίαι δ̄ ὀρθῶν ἐλάσσονές εἰσιν ambrosia in this form, they do not think it proper to pour it carelessly into earth or wood or any other unseemly and irregular material, but, collecting the fairest parts of the sweetest flowers growing on the earth, from them they prepare for the reception of the honey the vessels called honeycombs, [with cells] all equal, similar and adjacent, and hexagonal in form.

That they have contrived this in accordance with a certain geometrical forethought we may thus infer. They would necessarily think that the figures must all be adjacent one to another and have their sides common, in order that nothing else might fall into the interstices and so defile their work. Now there are only three rectilineal figures which would satisfy the condition, I mean regular figures which are equilateral and equiangular, inasmuch as irregular figures would be displeasing to the bees. For equilateral triangles and squares and hexagons can lie adjacent to one another and have their sides in common without irregular interstices. For the space about the same point can be filled by six equilateral triangles and six angles, of which each is $\frac{2}{3}$. right angle, or by four squares and four right angles, or by three hexagons and three angles of a hexagon, of which each is $1\frac{1}{3}$. right angle. But three pentagons would not suffice to fill the space about the same point, and four would be more than sufficient ; for three angles of the pentagon are less than four right angles (inasmuch

[1] ταῦτα . . . ἀδύνατον om. Hultsch.

[2] "αὐτοῦ spurium, nisi forte αὐτῶν dedit scriptor"—Hultsch.

(ἑκάστη γὰρ γωνία μιᾶς καὶ ε′ ἐστὶν ὀρθῆς), τέσσαρες δὲ γωνίαι μείζους τῶν τεσσάρων ὀρθῶν. ἑπτάγωνα δὲ οὐδὲ τρία περὶ τὸ αὐτὸ σημεῖον δύναται τίθεσθαι κατὰ τὰς πλευρὰς ἀλλήλοις παρακείμενα· τρεῖς γὰρ ἑπταγώνου γωνίαι τεσσάρων ὀρθῶν μείζονες (ἑκάστη γάρ ἐστιν μιᾶς ὀρθῆς καὶ τριῶν ἑβδόμων). ἔτι δὲ μᾶλλον ἐπὶ τῶν πολυγωνοτέρων ὁ αὐτὸς ἐφαρμόσαι δυνήσεται λόγος. ὄντων δὴ οὖν τριῶν σχημάτων τῶν ἐξ αὐτῶν δυναμένων συμπληρῶσαι τὸν περὶ τὸ αὐτὸ σημεῖον τόπον, τριγώνου τε καὶ τετραγώνου καὶ ἑξαγώνου, τὸ πολυγωνότερον εἵλαντο διὰ τὴν σοφίαν αἱ μέλισσαι πρὸς τὴν παρασκευήν, ἅτε καὶ πλεῖον ἑκατέρου τῶν λοιπῶν αὐτὸ χωρεῖν ὑπολαμβάνουσαι μέλι.

Καὶ αἱ μέλισσαι μὲν τὸ χρήσιμον αὐταῖς ἐπίστανται μόνον τοῦθ᾽ ὅτι τὸ ἑξάγωνον τοῦ τετραγώνου καὶ τοῦ τριγώνου μεῖζόν ἐστιν καὶ χωρῆσαι δύναται πλεῖον μέλι τῆς ἴσης εἰς τὴν ἑκάστου κατασκευὴν ἀναλισκομένης ὕλης, ἡμεῖς δὲ πλέον τῶν μελισσῶν σοφίας μέρος ἔχειν ὑπισχνούμενοι ζητήσομέν τι καὶ περισσότερον. τῶν γὰρ ἴσην ἐχόντων περίμετρον ἰσοπλεύρων τε καὶ ἰσογωνίων ἐπιπέδων σχημάτων μεῖζόν ἐστιν ἀεὶ τὸ πολυγωνότερον, μέγιστος δ᾽ ἐν πᾶσιν ὁ κύκλος, ὅταν ἴσην αὐτοῖς περίμετρον ἔχῃ.

(*j*) Apparent Form of a Circle

Ibid. vi. 48. 90-91, ed. Hultsch 580. 12-27

Ἔστω κύκλος ὁ ΑΒΓ, οὗ κέντρον τὸ Ε, καὶ ἀπὸ τοῦ Ε πρὸς ὀρθὰς ἔστω τῷ τοῦ κύκλου ἐπιas each angle is $1\frac{1}{5}$. right angle), and four angles are greater than four right angles. Nor can three heptagons be placed about the same point so as to have their sides adjacent to each other; for three angles of a heptagon are greater than four right angles (inasmuch as each is $1\frac{3}{7}$. right angle). And the same argument can be applied even more to polygons with a greater number of angles. There being, then, three figures capable by themselves of filling up the space around the same point, the triangle, the square and the hexagon, the bees in their wisdom chose for their work that which has the most angles, perceiving that it would hold more honey than either of the two others.

Bees, then, know just this fact which is useful to them, that the hexagon is greater than the square and the triangle and will hold more honey for the same expenditure of material in constructing each. But we, claiming a greater share in wisdom than the bees, will investigate a somewhat wider problem, namely that, *of all equilateral and equiangular plane figures having an equal perimeter, that which has the greater number of angles is always greater, and the greatest of them all is the circle having its perimeter equal to them.*

(*j*) Apparent Form of a Circle

Ibid. vi.[a] 48. 90-91, ed. Hultsch 580. 12-27

Let ABΓ be a circle with centre E, and from E let EZ be drawn perpendicular to the plane of the circle;

[a] Most of Book vi. is astronomical, covering the treatises in the *Little Astronomy* (*v. supra*, p. 408 n. *b*). The proposition here cited comes from a section on Euclid's *Optics*.

πέδῳ ἡ ΕΖ· λέγω, ὅτι ἐὰν ἐπὶ τῆς ΕΖ τὸ ὄμμα τεθῇ ἴσαι αἱ διάμετροι φαίνονται τοῦ κύκλου.



Τοῦτο δὲ δῆλον· ἅπασαι γὰρ αι ἀπὸ τοῦ Ζ πρὸς τὴν τοῦ κύκλου περιφέρειαν προσπίπτουσαι εὐθεῖαι ἴσαι εἰσὶν ἀλλήλαις καὶ ἴσας γωνίας περιέχουσιν.

Μὴ ἔστω δὲ ἡ ΕΖ πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ, ἴση δὲ ἔστω τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου· λέγω, ὅτι τοῦ ὄμματος ὄντος πρὸς τῷ Ζ σημείῳ καὶ οὕτως αἱ διάμετροι ἴσαι ὁρῶνται.

Ἤχθωσαν γὰρ δύο διάμετροι αἱ ΑΓ, ΒΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΑ, ΖΒ, ΖΓ, ΖΔ. ἐπεὶ αἱ

I say that, if the eye be placed on EZ, the diameters of the circle appear equal.[a]



This is obvious ; for all the straight lines falling from Z on the circumference of the circle are equal one to another and contain equal angles.

Now let EZ be not perpendicular to the plane of the circle, but equal to the radius of the circle ; I say that, if the eye be at the point Z, in this case also the diameters appear equal.

For let two diameters AΓ, BΔ be drawn, and let ZA, ZB, ZΓ, ZΔ be joined. Since the three straight

[a] As they will do if they subtend an equal angle at the eye.

τρεῖς αἱ ΕΑ, ΕΓ, ΕΖ *ἴσαι εἰσίν, ὀρθὴ ἄρα ἡ ὑπὸ* ΑΖΓ *γωνία. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ* ΒΖΔ *ὀρθή ἐστιν· ἴσαι ἄρα φανήσονται αἱ* ΑΓ, ΒΔ *διάμετροι. ὁμοίως δὴ δείξομεν ὅτι καὶ πᾶσαι.*

(*k*) The "Treasury of Analysis"

Ibid. vii., Praef. 1-3, ed. Hultsch 634. 3–636. 30

Ὁ *καλούμενος ἀναλυόμενος,* Ἑ*ρμόδωρε τέκνον, κατὰ σύλληψιν ἰδία τίς ἐστιν ὕλη παρεσκευασμένη μετὰ τὴν τῶν κοινῶν στοιχείων ποίησιν τοῖς βουλομένοις ἀναλαμβάνειν ἐν γραμμαῖς δύναμιν εὑρετικὴν τῶν προτεινομένων αὐτοῖς προβλημάτων, καὶ εἰς τοῦτο μόνον χρησίμη καθεστῶσα. γέγραπται δὲ ὑπὸ τριῶν ἀνδρῶν,* Εὐ*κλείδου τε τοῦ* Σ*τοιχειωτοῦ καὶ* Ἀ*πολλωνίου τοῦ* Π*εργαίου καὶ* Ἀ*ρισταίου τοῦ πρεσβυτέρου, κατὰ ἀνάλυσιν καὶ σύνθεσιν ἔχουσα τὴν ἔφοδον.*

Ἀ*νάλυσις τοίνυν ἐστὶν ὁδὸς ἀπὸ τοῦ ζητουμένου ὡς ὁμολογουμένου διὰ τῶν ἑξῆς ἀκολούθων ἐπί τι ὁμολογούμενον συνθέσει· ἐν μὲν γὰρ τῇ ἀναλύσει τὸ ζητούμενον ὡς γεγονὸς ὑποθέμενοι τὸ ἐξ οὗ τοῦτο συμβαίνει σκοπούμεθα καὶ πάλιν ἐκείνου τὸ προηγούμενον, ἕως ἂν οὕτως ἀναποδίζοντες καταντήσωμεν εἴς τι τῶν ἤδη γνωριζομένων ἢ τάξιν ἀρχῆς ἐχόντων· καὶ τὴν τοιαύτην ἔφοδον ἀνάλυσιν καλοῦμεν, οἷον ἀνάπαλιν λύσιν.*

Ἐ*ν δὲ τῇ συνθέσει ἐξ ὑποστροφῆς τὸ ἐν τῇ ἀναλύσει καταληφθὲν ὕστατον ὑποστησάμενοι γεγονὸς ἤδη, καὶ ἑπόμενα τὰ ἐκεῖ [ἐνταῦθα]*[1] *προ-*

[1] *ἐνταῦθα* om. Hultsch.

lines EA, EΓ, EZ are equal, therefore the angle AZΓ is right. And by the same reasoning the angle BZΔ is right; therefore the diameters AΓ, BΔ appear equal. Similarly we may show that all are equal.

(*k*) The "Treasury of Analysis"

Ibid. vii., Preface 1-3, ed. Hultsch 634. 3–636. 30

The so-called *Treasury of Analysis*, my dear Hermodorus, is, in short, a special body of doctrine furnished for the use of those who, after going through the usual elements, wish to obtain power to solve problems set to them involving curves,[a] and for this purpose only is it useful. It is the work of three men, Euclid the writer of the *Elements*, Apollonius of Perga and Aristaeus the elder, and proceeds by the method of analysis and synthesis.

Now *analysis* is a method of taking that which is sought as though it were admitted and passing from it through its consequences in order to something which is admitted as a result of synthesis; for in analysis we suppose that which is sought to be already done, and we inquire what it is from which this comes about, and again what is the antecedent cause of the latter, and so on until, by retracing our steps, we light upon something already known or ranking as a first principle; and such a method we call analysis, as being a reverse solution.

But in *synthesis*, proceeding in the opposite way, we suppose to be already done that which was last reached in the analysis, and arranging in their natural

[a] Or, perhaps, "to give a complete theoretical solution of problems set to them"; *v. supra*, p. 414 n. *a*.

ἡγούμενα κατὰ φύσιν τάξαντες καὶ ἀλλήλοις ἐπισυνθέντες, εἰς τέλος ἀφικνούμεθα τῆς τοῦ ζητουμένου κατασκευῆς· καὶ τοῦτο καλοῦμεν σύνθεσιν.

Διττὸν δ' ἐστὶν ἀναλύσεως γένος τὸ μὲν ζητητικὸν τἀληθοῦς, ὃ καλεῖται θεωρητικόν, τὸ δὲ ποριστικὸν τοῦ προταθέντος [λέγειν],[1] ὃ καλεῖται προβληματικόν. ἐπὶ μὲν οὖν τοῦ θεωρητικοῦ γένους τὸ ζητούμενον ὡς ὂν ὑποθέμενοι καὶ ὡς ἀληθές, εἶτα διὰ τῶν ἑξῆς ἀκολούθων ὡς ἀληθῶν καὶ ὡς ἔστιν καθ' ὑπόθεσιν προελθόντες ἐπί τι ὁμολογούμενον, ἐὰν μὲν ἀληθὲς ᾖ ἐκεῖνο τὸ ὁμολογούμενον, ἀληθὲς ἔσται καὶ τὸ ζητούμενον, καὶ ἡ ἀπόδειξις ἀντίστροφος τῇ ἀναλύσει, ἐὰν δὲ ψεύδει ὁμολογουμένῳ ἐντύχομεν, ψεῦδος ἔσται καὶ τὸ ζητούμενον. ἐπὶ δὲ τοῦ προβληματικοῦ γένους τὸ προταθὲν ὡς γνωσθὲν ὑποθέμενοι, εἶτα διὰ τῶν ἑξῆς ἀκολούθων ὡς ἀληθῶν προελθόντες ἐπί τι ὁμολογούμενον, ἐὰν μὲν τὸ ὁμολογούμενον δυνατὸν ᾖ καὶ ποριστόν, ὃ καλοῦσιν οἱ ἀπὸ τῶν μαθημάτων δοθέν, δυνατὸν ἔσται καὶ τὸ προταθέν, καὶ πάλιν ἡ ἀπόδειξις ἀντίστροφος τῇ ἀναλύσει, ἐὰν δὲ ἀδυνάτῳ ὁμολογουμένῳ ἐντύχομεν, ἀδύνατον ἔσται καὶ τὸ πρόβλημα.

Τοσαῦτα μὲν οὖν περὶ ἀναλύσεως καὶ συνθέσεως.

Τῶν δὲ προειρημένων τοῦ ἀναλυομένου βιβλίων ἡ τάξις ἐστὶν τοιαύτη. Εὐκλείδου Δεδομένων βιβλίον ᾱ, Ἀπολλωνίου Λόγου ἀποτομῆς β̄, Χωρίου ἀποτομῆς β̄, Διωρισμένης τομῆς δύο, Ἐπαφῶν δύο, Εὐκλείδου Πορισμάτων τρία, Ἀπολλωνίου Νεύσεων δύο, τοῦ αὐτοῦ Τόπων ἐπιπέδων δύο,

[1] λέγειν om. Hultsch.

order as consequents what were formerly antecedents and linking them one with another, we finally arrive at the construction of what was sought ; and this we call synthesis.

Now analysis is of two kinds, one, whose object is to seek the truth, being called *theoretical*, and the other, whose object is to find something set for finding, being called *problematical.* In the theoretical kind we suppose the subject of the inquiry to exist and to be true, and then we pass through its consequences in order, as though they also were true and established by our hypothesis, to something which is admitted ; then, if that which is admitted be true, that which is sought will also be true, and the proof will be the reverse of the analysis, but if we come upon something admitted to be false, that which is sought will also be false. In the problematical kind we suppose that which is set as already known, and then we pass through its consequences in order, as though they were true, up to something admitted ; then, if what is admitted be possible and can be done, that is, if it be what the mathematicians call *given*, what was originally set will also be possible, and the proof will again be the reverse of the analysis, but if we come upon something admitted to be impossible, the problem will also be impossible.

So much for analysis and synthesis.

This is the order of the books in the aforesaid *Treasury of Analysis*. Euclid's *Data*, one book, Apollonius's *Cutting-off of a Ratio*, two books, *Cutting-off of an Area*, two books, *Determinate Section*, two books, *Contacts*, two books, Euclid's *Porisms*, three books, Apollonius's *Vergings*, two books, his *Plane Loci*, two books, *Conics*, eight books, Aristaeus's

Κωνικῶν η̄, Ἀρισταίου Τόπων στερεῶν πέντε, Εὐκλείδου Τόπων τῶν πρὸς ἐπιφανείᾳ δύο, Ἐρατοσθένους Περὶ μεσοτήτων δύο. γίνεται βιβλία λ̄γ̄, ὧν τὰς περιοχὰς μέχρι τῶν Ἀπολλωνίου Κωνικῶν ἐξεθέμην σοι πρὸς ἐπίσκεψιν, καὶ τὸ πλῆθος τῶν τόπων καὶ τῶν διορισμῶν καὶ τῶν πτώσεων καθʼ ἕκαστον βιβλίον, ἀλλὰ καὶ τὰ λήμματα τὰ ζητούμενα, καὶ οὐδεμίαν ἐν τῇ πραγματείᾳ τῶν βιβλίων καταλέλοιπα ζήτησιν, ὡς ἐνόμιζον.

(*l*) Locus with Respect to Five or Six Lines

Ibid. vii. 38-40, ed. Hultsch 680. 2-30

Ἐὰν ἀπό τινος σημείου ἐπὶ θέσει δεδομένας εὐθείας πέντε καταχθῶσιν εὐθεῖαι ἐν δεδομέναις γωνίαις, καὶ λόγος ᾖ δεδομένος τοῦ ὑπὸ τριῶν κατηγμένων περιεχομένου στερεοῦ παραλληλεπιπέδου ὀρθογωνίου πρὸς τὸ ὑπὸ τῶν λοιπῶν δύο κατηγμένων καὶ δοθείσης τινὸς περιεχόμενον παραλληλεπίπεδον ὀρθογώνιον, ἅψεται τὸ σημεῖον θέσει δεδομένης γραμμῆς. ἐάν τε ἐπὶ ϛ̄, καὶ λόγος ᾖ δοθεὶς τοῦ ὑπὸ τῶν τριῶν περιεχομένου προειρημένου στερεοῦ πρὸς τὸ ὑπὸ τῶν λοιπῶν τριῶν, πάλιν τὸ σημεῖον ἅψεται θέσει δεδομένης. ἐὰν δὲ ἐπὶ πλείονας τῶν ϛ̄, οὐκέτι μὲν ἔχουσι λέγειν, "ἐὰν λόγος ᾖ δοθεὶς τοῦ ὑπὸ τῶν δ περιεχομένου τινὸς πρὸς τὸ ὑπὸ τῶν λοιπῶν," ἐπεὶ οὐκ ἔστι τι

[a] These propositions follow a passage on the locus with respect to three or four lines which has already been quoted (*v.* vol. i. pp. 486-489). The passages come from Pappus's

Solid Loci, five books, Euclid's *Surface Loci*, two books, Eratosthenes' *On Means*, two books. In all there are thirty-three books, whose contents as far as Apollonius's *Conics* I have set out for your examination, including not only the number of the propositions, the conditions of possibility and the cases dealt with in each book, but also the lemmas which are required; indeed, I believe that I have not omitted any inquiry arising in the study of these books.

(*l*) Locus with Respect to Five or Six Lines [a]

Ibid. vii. 38-40, ed. Hultsch 680. 2-30

If from any point straight lines be drawn to meet at given angles five straight lines given in position, and the ratio be given between the volume of the rectangular parallelepiped contained by three of them to the volume of the rectangular parallelepiped contained by the remaining two and a given straight line, the point will lie on a curve given in position. If there be six straight lines, and the ratio be given between the volume of the aforesaid solid formed by three of them to the volume of the solid formed by the remaining three, the point will again lie on a curve given in position. If there be more than six straight lines, it is no longer permissible to say "if the ratio be given between some figure contained by four of them to some figure contained by the remainder," since no figure can be contained in more

account of the *Conics* of Apollonius, who had worked out the locus with respect to three or four lines. It was by reflection on this passage that Descartes evolved the system of co-ordinates described in his *Géométrie.*

περιεχόμενον ὑπὸ πλειόνων ἢ τριῶν διαστάσεων. συγκεχωρήκασι δὲ ἑαυτοῖς οἱ βραχὺ πρὸ ἡμῶν ἑρμηνεύειν τὰ τοιαῦτα, μηδὲ ἓν μηδαμῶς διάληπτον σημαίνοντες, τὸ ὑπὸ τῶνδε περιεχόμενον λέγοντες ἐπὶ τὸ ἀπὸ τῆσδε τετράγωνον ἢ ἐπὶ τὸ ὑπὸ τῶνδε. παρῆν δὲ διὰ τῶν συνημμένων λόγων ταῦτα καὶ λέγειν καὶ δεικνύναι καθόλου καὶ ἐπὶ τῶν προειρημένων προτάσεων καὶ ἐπὶ τούτων τὸν τρόπον τοῦτον· ἐὰν ἀπό τινος σημείου ἐπὶ θέσει δεδομένας εὐθείας καταχθῶσιν εὐθεῖαι ἐν δεδομέναις γωνίαις, καὶ δεδομένος ᾖ λόγος ὁ συνημμένος ἐξ οὗ ἔχει μία κατηγμένη πρὸς μίαν καὶ ἑτέρα πρὸς ἑτέραν, καὶ ἄλλη πρὸς ἄλλην, καὶ ἡ λοιπὴ πρὸς δοθεῖσαν, ἐὰν ὦσιν ζ̄, ἐὰν δὲ η̄, καὶ ἡ λοιπὴ πρὸς λοιπήν, τὸ σημεῖον ἅψεται θέσει δεδομένης γραμμῆς· καὶ ὁμοίως ὅσαι ἂν ὦσιν περισσαὶ ἢ ἄρτιαι τὸ πλῆθος. τούτων, ὡς ἔφην, ἑπομένων τῷ ἐπὶ τέσσαρας τόπῳ οὐδὲ ἓν συντεθείκασιν, ὥστε τὴν γραμμὴν εἰδέναι.

